BYZANTINE GREEK SERIES · VOLUME 28

The Lausiac History

Palladius of Helenopolis

ΠΑΛΛΑΔΙΟΥ ΛΑΥΣΙΑΚΟΝ
Η ΚΑΤ' ΑΙΓΥΠΤΟΝ ΤΩΝ ΜΟΝΑΧΩΝ ΙΣΤΟΡΙΑ

The Lausiac History

With the History of the Monks in Egypt

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 28 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Dom Cuthbert Butler's text of the Lausiac History of Palladius (Cambridge, 1904) and Erwin Preuschen's text of the History of the Monks in Egypt, in his Palladius und Rufinus (Giessen, 1897)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are not printed; words they supply are printed without their brackets, a dagger marks a word they hold corrupt, and three asterisks mark a lacuna. The margins give their chapter numbers.

CONTENTS

PALLADIUS OF HELENOPOLIS · THE LAUSIAC HISTORY

I · The Prologue and the Letter to Lausus 9
II · Alexandria 27
III · Nitria 43
IV · Macarius of Egypt 58
V · Macarius of Alexandria 75
VI · Moses, Paul, and Eulogius 92
VII · Paul the Simple and the Proud 109
VIII · Elias, Piamoun, and Pachomius 128
IX · Tabennesi and John of Lycopolis 141

PALLADIUS OF HELENOPOLIS · THE LAUSIAC HISTORY

(continued)

X · Posidonius and Sarapion 155
XI · Evagrius, Pior, and Ephraem 168
XII · Holy Women and Men 181
XIII · Chronius, Paphnutius, and Elpidius 195
XIV · Palestine and Melania's Household 207
XV · Antinoe and the Younger Melania 218
XVI · Ancyra and the Last Stories 231

ANONYMOUS · THE HISTORY OF THE MONKS IN EGYPT

I · Prologue 249
II · John of Lycopolis 255
III · Or, Ammon, Bes, and Oxyrhynchus 286
IV · Apollo 299
V · Amoun, Copres, and Patermuthius 327
VI · Anuph, Helle, and John 348
VII · Paphnutius 362
VIII · Apollonius and the Monks of Nitria 376
IX · Amoun, Paul the Simple, and the Journey's Perils 394

PALLADIUS OF HELENOPOLIS

ΠΑΛΛΑΔΙΟΥ ΛΑΥΣΙΑΚΟΝ

The Lausiac History

This book records the lives of the holy fathers of the desert and of the aged women who fought the same fight, written at the bidding of Lausus, who keeps guard over the pious empire. In a letter Palladius praises Lausus for wishing to be taught, since God alone is untaught and every rank learns from the one above it. In the prologue Palladius, in his thirty-third year of the monastic life, tells how he walked the Roman lands to meet holy men, and urges Lausus to give his wealth away, to eat and drink by reason rather than bind himself with oaths, and to shun idle company and seek out holy men and women.

Ἐν ταύτῃ τῇ βίβλῳ ἀναγέγραπται ἐνάρετος ἄσκησις καὶ 1
in this the book has-been-written-down virtuous discipline and
θαυμαστὴ βίου διαγωγὴ τῶν μακαρίων καὶ ἁγίων πατέρων
wonderful of-life conduct of-the blessed and holy fathers
μοναχῶν καὶ ἀναχωρητῶν τῶν ἐν τῇ ἐρήμῳ, πρὸς
monks and anchorites of-those in the desert for
ζῆλον καὶ μίμησιν τῶν τὴν οὐράνιον πολιτείαν ἐθελόντων
emulation and imitation of-those the heavenly way-of-life wishing
κατορθοῦν καὶ τὴν εἰς βασιλείαν οὐρανῶν ἄγουσαν
to-accomplish and the to (the)-kingdom of-heavens leading
βουλομένων ὁδεύειν ὁδόν· καὶ γυναικῶν πρεσβυτίδων καὶ
wishing to-travel road and of-women aged and
ἀοιδίμων θεοπνεύστων μητέρων μνῆμαι, τῶν ἀνδρείῳ
celebrated God-inspired mothers memorials of-those(-women) with-manly
καὶ τελείῳ φρονήματι τοὺς τῆς ἐναρέτου ἀσκήσεως ἄθλους
and perfect spirit the of-the virtuous discipline contests
ἐξανυσασῶν, πρὸς ὑπογραμμὸν καὶ ἔρωτα τῶν
having-accomplished for (a)-pattern and longing of-those(-women)
ἐθελουσῶν τὸν τῆς ἐγκρατείας καὶ ἁγνείας ἀναδήσασθαι
wishing the of-the self-control and chastity to-bind-on
στέφανον· διὰ τὸ †ἀνδρός τινος παγκρατίστου καὶ τῇ
crown because-of the of-man a-certain most-mighty and in-the

γνώμῃ πολυμαθοῦς καὶ τὸ ἦθος εἰρηνικοῦ καὶ τῇ καρδίᾳ
mind very-learned and the character peaceable and in-the heart
εὐσεβοῦς καὶ τῇ διανοίᾳ θεοφιλοῦς, καὶ πρὸς τοὺς
pious and in-the understanding God-loving and toward those
δεομένους τῶν χρειῶν κοινωνικοῦ, καὶ αὐτῇ κορυφῇ τῶν
needing the necessities sharing and at-the-very summit of-the
ἀξιωμάτων διὰ χρηστότητα τρόπων πολλῶν λογάδων
dignities because-of goodness of-ways many chosen
ἀνδρῶν προτετιμημένου, καὶ τὸ ὅλον τῇ δυνάμει τοῦ
men having-been-preferred and the whole by-the power of-the
θείου πνεύματος φρουρουμένου, ἐπιτάξαντος ἡμῖν, μᾶλλον
divine spirit being-guarded having-commanded us rather
δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, πρὸς τὴν τῶν κρειττόνων
and if (it)-is-needful the-truth to-speak toward the of-the better(-things)
θεωρίαν τὸν νωθρὸν ἡμῶν νοῦν διεγείραντος πρὸς μίμησιν
contemplation the sluggish our mind having-roused toward imitation
καὶ ἅμιλλαν τῶν ἀρετῶν τῆς ἀσκήσεως τῶν ὁσίων
and rivalry of-the virtues of-the discipline of-the holy
καὶ ἀθανάτων πνευματικῶν ἡμῶν πατέρων καὶ τῶν
and immortal spiritual our fathers and of-those
ἐν ἀρεσκείᾳ θεοῦ ἐν σκληραγωγίᾳ πολλῇ τοῦ σώματος
in pleasing of-God in hardship much of-the body
βεβιωκότων· ὡς ἀναγραψαμένους ἡμᾶς τοὺς τῶν ἀνικήτων
having-lived that having-written-down us the of-the unconquered
ἀθλητῶν βίους διαπέμψασθαι τούτῳ, ἀνακηρύττοντας ἑνὸς
athletes lives to-send to-this(-man) proclaiming of-one
ἑκάστου τῶν μεγάλων τὰς ἐναργεῖς ἀρετάς. ἔστι δὲ ὁ τοῦ
each of-the great(-ones) the manifest virtues is and the of-the
θείου τούτου καὶ πνευματικοῦ πόθου ἐραστὴς ὁ ἄριστος
divine this and spiritual longing lover the best

τῶν ἀνδρῶν Λαῦσος, ὁ μετὰ τὴν τοῦ θεοῦ ῥοπὴν
of-the men Lausus the(-one) after the — of-God inclination
φύλαξ τεταγμένος τῆς ἐνθέου καὶ εὐσεβοῦς βασιλείας.
guardian appointed of-the divine and pious empire
Ἐγὼ τοίνυν ὁ καὶ τῇ γλώττῃ ἀπαίδευτος καὶ
I therefore the(-one) both in-the tongue untaught and
πνευματικῆς γνώσεως ἀκροθιγῶς πως γευσάμενος καὶ τοῦ
of-spiritual knowledge superficially somehow having-tasted and of-the
καταλόγου τῶν ἁγίων πατέρων πνευματικοῦ βίου ἀνάξιος,
roll of-the holy fathers of-spiritual life unworthy
δεδοικὼς τὸ ὑπὲρ ἐμὲ ἄμετρον τῆς ἐπιταγῆς μέγεθος,
fearing the beyond me immeasurable of-the command greatness
δυσανησχέτουν τῷ ἐπιτάγματι, πολλῆς δεομένῳ καὶ σοφίας
I-was-finding-hard-to-bear the command much needing both wisdom
τῆς ἔξωθεν καὶ πνευματικῆς συνέσεως· ὅμως καταιδεσθεὶς
of-the outside and spiritual understanding nevertheless having-revered
πρῶτον τὸ σπουδαῖον τῆς ἀρετῆς τοῦ εἰς ταύτην τὴν
first the earnestness of-the virtue of-the(-one) to this the
ἐπιταγὴν ἡμᾶς διεγείραντος, ἀναλογισάμενος δὲ καὶ τὴν
command us having-roused having-reckoned and also the
τῶν ἐντυγχανόντων ὠφελείαν, δεδιὼς δὲ καὶ τὸν ἐν τῇ
of-those reading benefit fearing and also the in the
εὐλόγῳ παρακοῇ κίνδυνον, τῇ προνοίᾳ πρῶτον ἀνατεθεικὼς
reasonable disobedience danger to-the providence first having-committed
τὸ γενναῖον ἐπίταγμα καὶ πολλῇ προσεχείᾳ χρησάμενος, τῇ
the noble command and much attention having-used by-the
τῶν ἁγίων πατέρων πρεσβείᾳ πτερούμενος, ἐνέβην εἰς τοὺς
of-the holy fathers intercession being-winged I-went-in into the
ἀγῶνας τοῦ σκάμματος, καὶ ὡς ἐν ἐπιτομῇ τῶν γενναίων
contests of-the arena and as in summary of-the noble
ἀθλητῶν καὶ μεγάλων ἀνδρῶν τὰ ἔπακρα μόνον ἆθλά τε
athletes and great men the topmost only contests both

καὶ σημεῖα ἀναγραψάμενος, οὐ μόνον ἀνδρῶν ἀοιδίμων
and signs having-written-down not only of-men celebrated
κατορθωκότων πολιτείαν ἀρίστην ἀλλὰ καὶ γυναικῶν
having-accomplished way-of-life best but also of-women
μακαρίων καὶ εὐσχημόνων ἄκραν πολιτείαν ἐξασκησασῶν.
blessed and graceful highest way-of-life having-practiced
Καὶ τῶν μὲν τὰ ἱεροπρεπῆ πρόσωπα αὐτοπροσώπῳ
and of-the(-ones) indeed the sacred faces with-face-to-face
θέᾳ ἰδεῖν κατηξιώθην, τῶν δὲ προτελειωθέντων ἐν
sight to-see I-was-deemed-worthy of-the(-ones) and perfected-before in
τῷ σκάμματι τῆς εὐσεβείας παρὰ θεοφόρων ἀθλητῶν τοῦ
the arena of-the piety from God-bearing athletes —
Χριστοῦ τὴν οὐράνιον τούτων πολιτείαν μεμάθηκα. πολλὰς
of-Christ the heavenly of-these way-of-life I-have-learned many
δὲ πόλεις καὶ πλείστας κώμας, σπήλαιόν τε ἅπαν καὶ
and cities and very-many villages cave and every and
πάσας σκηνὰς τῆς ἐρήμου τῶν μοναχῶν, πεζῇ τῇ πορείᾳ
all tents of-the desert of-the monks on-foot by-the journey
περινοστήσας θεοσεβείας σκοπῷ μετὰ πάσης ἀκριβείας,
having-gone-about of-piety with-aim with all exactness
ἃ μὲν αὐτὸς ἱστορήσας ἀνεγραψάμην, ἃ δὲ
what-things indeed myself having-witnessed I-wrote-down what-things and
παρὰ τῶν ἁγίων πατέρων ἀκήκοα, ἄθλους μεγάλων
from the holy fathers I-have-heard contests of-great
ἀνδρῶν καὶ ἀνδρειοτέρων τῆς φύσεως γυναικῶν διὰ
men and more-manly than-the nature of-women because-of
τὴν εἰς Χριστὸν ἐλπίδα ἐνσημάνας ἐν τῷ βιβλίῳ τούτῳ,
the in Christ hope having-noted in the book this
ἀπέσταλκα τῇ τῶν θείων λογίων φίλῃ ἀκοῇ σου, ἀνδρῶν
I-have-sent to-the of-the divine oracles loving hearing your of-men
ἀρίστων καὶ θεοφιλῶν ἐγκαλλώπισμα καὶ τῆς πιστοτάτης
best and God-loving (an)-ornament and of-the most-faithful

καὶ θεοφιλοῦς βασιλείας ἀγλάϊσμα, γνήσιε καὶ φιλόχριστε
and God-loving empire (a)-glory genuine and Christ-loving
δοῦλε θεοῦ Λαῦσε, ἐγχαράξας κατὰ τὴν προσοῦσαν ἐμοὶ
servant of-God Lausus having-engraved according-to the belonging to-me
βραχύτητα ἑκάστου τῶν τοῦ Χριστοῦ ἀθλητῶν ἀρρένων
brevity of-each of-the — of-Christ athletes male
τε καὶ θηλειῶν καὶ τὸ ἀοίδιμον ὄνομα, ἐξηγησάμενός τε
both and female and the celebrated name having-related and
ἀπὸ πολλῶν καὶ πάνυ μεγάλων ἄθλων ἑκάστου ὀλίγους
from many and very great contests of-each few
καὶ σφόδρα βραχεῖς, προστεθεικὼς τῶν πλείστων καὶ τὸ
and very brief having-added of-the most both the
γένος καὶ τὴν πόλιν καὶ τὸν τόπον τῆς μονῆς.
race and the city and the place of-the dwelling
Ἐμνημονεύσαμεν δὲ ἀνδρῶν καὶ γυναικῶν κατορθωσάντων
we-have-made-mention and of-men and women having-accomplished
μὲν εἰς ἄκρον τὴν ἀρετὴν, διὰ δὲ τὴν μητέρα τῆς
indeed to (the)-height the virtue because-of but the mother of-the
ὑπερηφανείας τὴν καλουμένην κενοδοξίαν εἰς ἔσχατον
pride the called vainglory into (the)-lowest
βάραθρον καὶ πυθμένα ᾅδου κατενεχθέντων, καὶ τὰ
pit and bottom of-Hades having-been-brought-down and the
ἐκ μακρῶν χρόνων καὶ πολλῶν κόπων κτηθέντα αὐτοῖς
from long times and many toils acquired by-them
ἐπέραστα καὶ περιμάχητα τῆς ἀσκήσεως κατορθώματα
lovely and fought-for of-the discipline achievements
ἐν μιᾷ καιροῦ ῥοπῇ ὑπὸ τοῦ τύφου καὶ τῆς οἰήσεως
in one of-moment turn by the conceit and the self-opinion
διαρρυέντα· χάριτι δὲ τοῦ σωτῆρος ἡμῶν καὶ προνοίᾳ τῶν
having-flowed-away by-grace but of-the savior our and by-providence of-the
ἁγίων πατέρων καὶ συμπαθείᾳ σπλάγχνων πνευματικῶν
holy fathers and by-sympathy of-bowels spiritual

ἐξαρπασθέντων τῶν τοῦ διαβόλου δικτύων καὶ ταῖς εὐχαῖς
having-been-snatched-out of-the of-the devil nets and by-the prayers
τῶν ἁγίων τὸν πρότερον ἀνακτησαμένων ἐνάρετον βίον.
of-the saints the former having-recovered virtuous life
2 Μακαρίζω σου τὴν προαίρεσιν· ἄξιον γὰρ ἀπὸ μακαρισμοῦ
I-call-blessed your the choice worthy for from (a)-blessing
ἄρξασθαι τῆς ἐπιστολῆς· ὅτι πάντων εἰς τὰ μάταια
to-begin the letter because all(-men) at the vain(-things)
κεχηνότων καὶ λίθους οἰκοδομούντων ἐξ ὧν οὐκ
gaping and stones building from which not
ὠφεληθήσονται, αὐτὸς λόγους οἰκοδομῆς διδάσκεσθαι
they-will-be-benefited you-yourself words of-edification to-be-taught
θέλεις. ἀδίδακτος γὰρ μόνος ἐστὶν ὁ τῶν ὅλων θεός,
you-wish untaught for alone is the of-the whole(-things) God
ἐπειδὴ καὶ αὐτοφυὴς καὶ πρὸ αὐτοῦ ἄλλον οὐκ ἔχων·
since both self-grown and before him other not having
τὰ δ' ἄλλα πάντα ἐστὶ διδακτά, ἐπειδὴ ποιητὰ καὶ
the(-things) and other all are taught since made and
κτιστά. καὶ τὰ μὲν πρῶτα τάγματα διδάσκαλον ἔχει τὴν
created and the indeed first orders (a)-teacher have the
ἀνωτάτω τριάδα· τὰ δὲ δεύτερα μανθάνει παρὰ τῶν
highest trinity the(-ones) and second learn from the
πρώτων· τὰ δὲ τρίτα παρὰ τῶν δευτέρων· καὶ οὕτω
first(-ones) the(-ones) and third from the second(-ones) and thus
καθεξῆς κατὰ τάξιν, μέχρι καὶ τῶν ἐσχάτων. οἱ
in-order according-to rank until even the last(-ones) the(-ones)
γὰρ κρείττους ἐν γνώμῃ καὶ ἀρετῇ τοὺς ἐλαττουμένους
for better in mind and virtue the(-ones) inferior
ἐν γνώσει διδάσκουσιν. οἱ τοίνυν οἰόμενοι διδασκάλων
in knowledge teach those therefore thinking of-teachers
μὴ χρῄζειν, ἢ μὴ πειθόμενοι τοῖς ἐν ἀγάπῃ διδάσκουσιν,
not to-need or not obeying those in love teaching

ἄγνοιαν νοσοῦσι τὴν μητέρα τῆς ὑπερηφανίας· ὧν
(with)-ignorance are-sick the mother of-the pride of-whom
πρωτεύουσιν εἰς ἀπώλειαν οἱ τῷ αὐτῷ πάθει τῆς
are-first to destruction those by-the same passion from-the
οὐρανίου διαγωγῆς ἐκπεσόντες, οἱ ἐν ἀέρι πετόμενοι
heavenly conduct having-fallen-out the in (the)-air flying
δαίμονες τῶν ἐν τοῖς οὐρανοῖς ἀποδράσαντες διδασκάλων.
demons from-the in the heavens having-run-away teachers
οὐ γὰρ αἱ λέξεις ἢ αἱ συλλαβαί εἰσι διδασκαλία, ἃ ἔχουσιν
not for the words or the syllables are teaching which have
ἐνίοτε καὶ οἱ ἐπὶ πλεῖστον φαῦλοι· ἀλλὰ τὰ τοῦ ἤθους
sometimes even those to (the)-most worthless but the of-the character
κατορθώματα, ἥ τε ἀλυπία καὶ ἡ ἀπτοησία καὶ ἡ
achievements the both freedom-from-grief and the fearlessness and the
ἀδειλία καὶ τὸ ἀόργητον, καὶ ἡ ἐπὶ πάντων παρρησία,
courage and the freedom-from-anger and the before all(-men) boldness
ἡ καὶ τοὺς λόγους ὡς πυρὸς φλόγα γεννῶσα. εἰ γὰρ μὴ
the(-one) also the words as of-fire flame begetting if for not
ἦν τοῦτο, οὐκ ἂν ἔλεγεν ὁ μέγας διδάσκαλος τοῖς ἑαυτοῦ
was this not — would-say the great teacher to-the his-own
μαθηταῖς· Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς
disciples learn from me that gentle I-am and lowly
τῇ καρδίᾳ· οὐ τῇ εὐλεξίᾳ ῥυθμίζων τοὺς ἀποστόλους,
in-the heart not by-the eloquence training the apostles
ἀλλὰ τῇ εὐλαβείᾳ τοῦ ἤθους, μηδένα λυπῶν πλὴν τῶν
but by-the reverence of-the character no-one grieving except the
μισολόγων καὶ διδασκάλους μισούντων. δεῖ γὰρ τὴν
word-haters and teachers hating (one)-must for the
κατὰ θεὸν ἀσκουμένην ψυχὴν ἢ μανθάνειν πιστῶς ἃ
according-to God practicing-discipline soul either to-learn faithfully what
οὐκ οἶδεν, ἢ διδάσκειν σαφῶς ἃ ἔγνω. εἰ δὲ ὁπότερον
not it-knows or to-teach clearly what it-knew if and either-of-two

μὴ βούληται εἰ δύναται, μανίαν νοσεῖ. ἀρχὴ γὰρ
not it-wishes if it-is-able madness it-is-sick-with (the)-beginning for
ἀποστασίας διδασκαλίας κόρος καὶ ἀνορεξία λόγου,
of-apostasy from-teaching (is)-satiety and loss-of-appetite for-(the)-word
ὃν ἀεὶ πεινᾷ ἡ ψυχὴ τοῦ φιλοθέου. ἴσχυε οὖν
which always hungers-for the soul of-the God-loving(-man) be-strong then
καὶ ὑγίαινε καὶ ἀνδρίζου, καὶ χαρίσηταί σοι ὁ θεὸς τὸ
and be-healthy and be-manly and may-grant to-you — God the
μεταδιώκειν τὴν γνῶσιν τοῦ Χριστοῦ.
to-pursue the knowledge — of-Christ

3 Πολλῶν πολλὰ καὶ ποικίλα κατὰ διαφόρους καιροὺς
of-many many and varied at different times
συγγράμματα τῷ βίῳ καταλελοιπότων, τῶν μὲν ἐξ
writings to-the life having-left of-the(-ones) indeed from
ἐπιπνοίας τῆς ἄνωθεν χάριτος θεοδότου εἰς οἰκοδομὴν
(the)-inspiration of-the from-above grace God-given for edification
καὶ ἀσφάλειαν τῶν πιστῇ προθέσει ἑπομένων τοῖς
and safety of-those with-faithful purpose following the
δόγμασι τοῦ σωτῆρος, τῶν δὲ ἐξ ἀνθρωπαρέσκου καὶ
doctrines of-the savior of-the(-ones) and from man-pleasing and
διεφθαρμένης προθέσεως ὑλομανησάντων εἰς παραμυθίαν
corrupted purpose having-run-wild for (the)-consolation
τῶν κενοδοξίαν κισσώντων, ἑτέρων δὲ ἔκ τινος μανίας
of-those vainglory craving of-others and from some madness
καὶ ἐνεργείας τοῦ μισοκάλου δαίμονος τύφῳ καὶ μηνίδι
and working of-the good-hating demon with-conceit and wrath
ἐπὶ λύμῃ τῶν κουφογνωμόνων ἀνθρώπων καὶ σπίλῳ τῆς
for (the)-ruin of-the light-minded men and (the)-stain of-the
ἀχράντου καὶ καθολικῆς ἐκκλησίας ἐπεισφρησάντων ταῖς
undefiled and catholic church having-crept-in into-the
διανοίαις τῶν ἀνοήτων ἐπὶ ἐγκότῳ τῆς σεμνῆς πολιτείας·
minds of-the foolish to (the)-hatred of-the august way-of-life

ἔδοξε καὰμοὶ τῷ ταπεινῷ, αἰδεσθέντι τὴν ἐπιταγὴν τῆς
it-seemed-good also-to-me the humble having-respected the command of-the
σῆς μεγαλονοίας, φιλομαθέστατε, τὴν ἐπὶ προκοπῇ τῆς
your magnanimity most-learning-loving the for (the)-progress of-the
διανοίας, τριακοστὸν μὲν καὶ τρίτον ἔτος ἄγοντι ἐν τῇ τῶν
mind thirtieth indeed and third year leading in the of-the
ἀδελφῶν πολιτείᾳ δῆθεν καὶ τῷ μονήρει βίῳ, εἰκοστὸν δὲ
brothers way-of-life forsooth and in-the solitary life twentieth and
τῆς ἐπισκοπῆς, πεντηκοστὸν δὲ καὶ ἕκτον ἐν τῇ πάσῃ ζωῇ,
of-the episcopate fiftieth and also sixth in the whole life
ποθοῦντί σοι τὰ τῶν πατέρων διηγήματα, ἀρρένων τε καὶ
longing to-you the of-the fathers narratives male both and
θηλειῶν, ὧν τε ἑώρακα καὶ περὶ ὧν ἀκήκοα, οἷς τε
female of-whom both I-have-seen and about whom I-have-heard with-whom and
συνανεστράφην ἐν τῇ κατ' Αἴγυπτον ἐρήμῳ καὶ Λιβύῃ καὶ
I-lived-together in the in Egypt desert and Libya and
Θηβαΐδι καὶ Συήνῃ, ὑφ' ἣν καὶ οἱ λεγόμενοι Ταβεννησιῶται,
(the)-Thebaid and Syene under which also the called Tabennesiotes
ἔπειτα Μεσοποταμίᾳ Παλαιστίνῃ τε καὶ Συρίᾳ, καὶ τοῖς
then Mesopotamia Palestine both and Syria and in-the
μέρεσι τῆς δύσεως Ῥώμῃ τε καὶ Καμπανίᾳ καὶ τῶν
parts of-the west Rome both and Campania and of-the(-parts)
περὶ ταύτην, ἄνωθεν ἐκθέσθαι σοι ἐν διηγήματος εἴδει
around this from-the-beginning to-set-out for-you in of-narrative form
τὸ βιβλίον τοῦτο· ὅπως σεμνὸν καὶ ψυχωφελὲς ὑπομνηστικὸν
the book this so-that (an)-august and soul-profiting reminder
ἔχων ἀδιάλειπτόν τε φάρμακον λήθης πάντα μὲν
having unceasing and remedy of-forgetfulness all indeed
νυσταγμὸν τὸν ἐξ ἀλόγου ἐπιθυμίας, πᾶσαν δὲ διψυχίαν
drowsiness the from irrational desire all and double-mindedness
καὶ κιμβικίαν τὴν ἐν ταῖς χρείαις, πάντα τε ὄκνον καὶ
and stinginess the in the needs all and sloth and

μικροψυχίαν τῶν ἐν τῷ ἤθει, ὀξυθυμίαν τε καὶ τάραχον καὶ
pettiness of-those in the character quick-temper both and confusion and
λύπην καὶ ἄλογον φόβον διὰ τούτου ἀποσκευαζόμενος καὶ
grief and irrational fear through this getting-rid-of and
τὸν μετεωρισμὸν τοῦ κόσμου, ἀδιαλείπτῳ πόθῳ προκόπτοις
the distraction of-the world with-unceasing longing you-may-advance
ἐν τῇ προθέσει τῆς εὐσεβείας, ὁδηγὸς καὶ σαυτοῦ καὶ τῶν
in the purpose of-the piety guide both of-yourself and of-those
μετὰ σοῦ καὶ τῶν ὑπὸ σὲ καὶ τῶν εὐσεβεστάτων γινόμενος
with you and of-those under you and of-the most-pious becoming
βασιλέων· δι' ὧν κατορθωμάτων πάντες οἱ φιλόχριστοι
emperors through which achievements all the Christ-lovers
ἑνωθῆναι θεῷ ἐπείγονται· συνεκδεχόμενος καὶ τὴν ἀνάλυσιν
to-be-united to-God hasten awaiting also the departure
τῆς ψυχῆς καθ' ἡμέραν, κατὰ τὸ γεγραμμένον·
of-the soul each day according-to the(-thing) written
Ἀγαθὸν τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· καὶ τὸ
good the to-depart and with Christ to-be and the
Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου
prepare for the going-out the works your and make-ready
εἰς τὸν ἀγρόν· ὁ γὰρ μνημονεύων ἀεὶ τοῦ θανάτου ὡς
for the field the(-one) for remembering always the death as
ἐξ ἀνάγκης ἥξει καὶ οὐ μελλήσει, οὐ πταίσει μεγάλα·
of necessity it-will-come and not it-will-delay not he-will-stumble greatly
μήτε παραλογιζόμενος τὴν ὑποθήκην τῶν ὑφηγήσεων μήτε
neither misreckoning the counsel of-the instructions nor
διαπτύων τὴν ἰδιωτείαν καὶ τὸ ἀκαλλὲς τῆς λέξεως.
spitting-on the plainness and the unadornedness of-the style
οὐ γὰρ δὴ τοῦτο τὸ ἔργον ἐστὶ θεϊκῆς διδασκαλίας
not for indeed this the work is of-divine teaching
σεσοφισμένως φράζειν, ἀλλὰ πείθειν τὴν γνώμην νοήμασιν
sophistically to-express but to-persuade the mind with-thoughts

ἀληθείας, κατὰ τὸ εἰρημένον· Ἄνοιγε σὸν στόμα
of-truth according-to the(-thing) said open your mouth
λόγῳ θεοῦ· καὶ πάλιν· Μὴ ἀστοχήσῃς διηγήματος
with-(the)-word of-God and again not miss (the)-narrative
γερόντων, καὶ γὰρ καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἔμαθον.
of-old-men and for also themselves from the fathers learned
Ἐγὼ τοίνυν, φιλομαθέστατε τοῦ θεοῦ ἄνθρωπε, ἐκ μέρους
I therefore most-learning-loving — of-God man in part
ἑπόμενος ταύτῃ τῇ ῥήσει πολλοῖς τῶν ἁγίων συντετύχηκα,
following this the saying many of-the saints I-have-met
οὐ περιέργῳ χρησάμενος λογισμῷ, ἀλλὰ καὶ τριάκοντα
not with-curious having-used thought but even of-thirty
ἡμερῶν καὶ δὶς τοσούτων ὁδὸν ἐξανύσας, ὡς ἐπὶ θεοῦ
days and twice as-many (a)-road having-completed as before God
πεζῇ τῇ πορείᾳ πατήσας πᾶσαν τὴν γῆν Ῥωμαίων,
on-foot by-the journey having-trodden all the land of-Romans
ἠσμένισα τὴν κακουχίαν τῆς ὁδοιπορίας ἐπὶ συντυχίᾳ
I-welcomed the hardship of-the travel for (the)-meeting
ἀνδρὸς φιλοθέου, ἵνα κερδήσω ὅπερ οὐκ εἶχον. εἰ γὰρ ὁ
of-(a)-man God-loving that I-might-gain what not I-had if for the(-one)
πολλῷ κρείττων ἐμοῦ ὑπερβὰς πολιτείᾳ καὶ γνώσει
by-much better than-me having-surpassed in-way-of-life and knowledge
καὶ συνειδήσει καὶ πίστει Παῦλος τὴν ἀπὸ Ταρσοῦ εἰς τὴν
and conscience and faith Paul the from Tarsus to —
Ἰουδαίαν ἐστείλατο ἀποδημίαν ἐπὶ συντυχίᾳ Πέτρου καὶ
Judea made journey for (the)-meeting of-Peter and
Ἰακώβου καὶ Ἰωάννου, καὶ ἐν εἴδει καυχήματος διηγεῖται,
of-James and of-John and in form of-boasting relates
στηλιτεύων ἑαυτοῦ τοὺς πόνους εἰς παροξυσμὸν τῶν ὄκνῳ
publishing his-own the labors for (the)-provocation of-those with-sloth
καὶ ἀργίᾳ συζώντων ἐν τῷ εἰπεῖν· Ἀνέβην εἰς Ἱεροσόλυμα
and idleness living-together in the to-say I-went-up to Jerusalem

ἱστορῆσαι Κηφᾶν, οὐκ ἀρκούμενος τῇ φήμῃ τῆς ἀρετῆς
to-visit Cephas not being-content with-the report of-the virtue
ἀλλ᾽ ἐπιποθῶν καὶ τὴν τοῦ εἴδους αὐτοῦ συντυχίαν· πόσῳ
but longing-for also the of-the face his meeting how-much
μᾶλλον ἐγὼ ὁ μυρίων ταλάντων χρεωφειλέτης ὤφειλον
more I the of-ten-thousand talents debtor ought
τοῦτο ποιῆσαι, οὐκ ἐκείνους εὐεργετῶν ἀλλ᾽ ἐμαυτὸν
this to-do not those benefiting but myself
ὠφελῶν. καὶ γὰρ οἱ τοὺς τῶν πατέρων ἀναγραψάμενοι
profiting and for those the of-the fathers having-written-down
βίους, Ἀβραάμ τε καὶ τῶν καθεξῆς, Μωσέως καὶ Ἠλίου
lives of-Abraham both and of-the(-ones) in-order of-Moses and of-Elijah
καὶ Ἰωάννου, οὐχ ἵνα ἐκείνους δοξάσωσιν ἐξηγήσαντο,
and of-John not that them they-might-glorify related
ἀλλ᾽ ἵνα καὶ τοὺς ἐντυγχάνοντας ὠφελήσωσιν.
but that also those reading they-might-benefit
Ταῦτα οὖν εἰδὼς, πιστότατε δοῦλε Χριστοῦ Λαῦσε, καὶ
these(-things) then knowing most-faithful servant of-Christ Lausus also
σαυτὸν νουθετῶν, ἀνάσχου καὶ τῆς φλυαρίας τῆς ἡμετέρας
yourself admonishing bear-with also the babbling the our
ἐπὶ φυλακῇ τῆς εὐσεβοῦς γνώμης, ἣ διαφόροις κακίαις
for (the)-guarding of-the pious mind which by-various evils
ὁραταῖς τε καὶ ἀοράτοις κυμαίνεσθαι πέφυκε, μόνῃ
visible both and invisible to-be-tossed is-by-nature by-only
προσευχῇ συνεχεῖ καὶ ἰδιοπραγμοσύνῃ δυναμένῃ ἠρεμεῖν.
prayer continual and minding-one's-own-business able to-be-still
πολλοὶ γὰρ τῶν ἀδελφῶν καὶ πόνοις καὶ ἐλεημοσύναις
many for of-the brothers both with-labors and with-alms
κομῶντες, καὶ ἀγαμίαν ἢ παρθενίαν αὐχοῦντες, καὶ
priding-themselves and celibacy or virginity boasting-of and
μελέτῃ θείων λογίων καὶ σπουδάσμασι θαρρήσαντες,
in-study of-divine oracles and with-endeavors having-taken-courage

ἠστόχησαν ἀπαθείας ἀδιακρίτῳ προσχήματι εὐσεβείας
missed passionlessness with-undiscerning pretense of-piety
τὰς φιλοπραγμοσύνας νοσήσαντες, ἐξ ὧν τίκτονται
the busybodyings having-been-sick-with from which are-born
πολυπραγμοσύναι ἢ κακοπραγμοσύναι ἀπελαύνουσαι
meddlings or evildoings driving-out
καλοπραγμοσύνην, τὴν μητέρα τῆς ἰδιοπραγμοσύνης.
good-doing the mother of-the minding-one's-own-business
Ἀνδρίζου τοίνυν, παρακαλῶ, μὴ πιαίνων τὸν πλοῦτον·
be-manly therefore I-exhort not fattening the wealth
ὃ δὴ καὶ πεποίηκας, αὐτάρκως αὐτὸν σμικρύνας τῇ
which indeed also you-have-done sufficiently it having-diminished by-the
διαδόσει τῶν χρείαν ἐχόντων διὰ τὴν ἐκ τούτου τῆς
distribution to-those need having because-of the from this of-the
ἀρετῆς ὑπηρεσίαν· μήτε ὁρμῇ τινι καὶ προλήψει ἀλόγῳ
virtue service nor by-impulse some and by-prejudice irrational
ἀνθρωπαρέσκως ὅρκῳ πεδήσας τὴν προαίρεσιν, καθὼς
man-pleasingly with-(an)-oath having-fettered the choice as
πεπόνθασί τινες φιλονείκως φιλοδοξίᾳ τοῦ μὴ φαγεῖν
have-suffered some contentiously by-love-of-glory the not to-eat
ἢ πιεῖν δουλώσαντες τὸ αὐτεξούσιον τῇ ἀνάγκῃ τοῦ
or to-drink having-enslaved the free-will to-the necessity of-the
ὅρκου, καὶ τούτῳ πάλιν ὑποπεσόντες οἰκτρῶς φιλοζωΐᾳ
oath and to-this again having-fallen-under pitiably by-love-of-life
καὶ ἀκηδίᾳ καὶ ἡδονῇ τὴν ἐπιορκίαν ὠδίναντες.
and by-listlessness and by-pleasure the perjury having-been-in-labor-with
λόγῳ τοίνυν μεταλαμβάνων καὶ λόγῳ ἀπεχόμενος
with-reason therefore partaking and with-reason abstaining
οὐχ ἁμαρτήσεις ποτέ. θεῖος γὰρ ὁ λόγος τῶν ἐν ἡμῖν
not you-will-sin ever divine for the reason of-the in us
κινημάτων, ἐξορίζων μὲν τὰ βλαβερὰ, προσλαμβανόμενος
movements banishing indeed the harmful(-things) taking-in

δὲ τὰ ἐπωφελῆ· δικαίῳ γὰρ νόμος οὐ κεῖται.
and the beneficial(-things) for-(the)-just for law not is-laid-down
ἄμεινον γὰρ ἡ μετὰ λόγου οἰνοποσία τῆς μετὰ τύφου
better for the with reason wine-drinking than-the with conceit
ὑδροποσίας. καὶ βλέπε μοι τοὺς μετὰ λόγου οἶνον
water-drinking and look for-me those with reason wine
πιόντας ἄνδρας ἁγίους, καὶ τοὺς ἄνευ λόγου πιόντας
having-drunk men holy and those without reason having-drunk
ὕδωρ ἀνθρώπους βεβήλους, καὶ μηκέτι ψέξῃς τὴν ὕλην ἢ
water men profane and no-longer blame the matter or
ἐπαινέσῃς, ἀλλὰ μακάρισον ἢ ταλάνισον τὴν γνώμην τῶν
praise but call-blessed or call-wretched the mind of-those
καλῶς ἢ κακῶς χρωμένων τῇ ὕλῃ. ἔπιέ ποτε καὶ Ἰωσὴφ
well or badly using the matter drank once also Joseph
παρ᾽ Αἰγυπτίοις οἶνον, ἀλλ᾽ οὐκ ἐβλάβη τὴν φρένα,
among Egyptians wine but not was-harmed in-the mind
ἠσφαλίσατο γὰρ τὴν γνώμην. ὑδροπότησε δὲ Πυθαγόρας
he-secured for the mind drank-water but Pythagoras
καὶ Διογένης καὶ Πλάτων, ἐν οἷς καὶ Μανιχαῖοι καὶ
and Diogenes and Plato among whom also Manichaeans and
τὸ λοιπὸν σύνταγμα τῶν ἐθελοφιλοσόφων, οἳ καὶ ἐπὶ
the rest company of-the would-be-philosophers who even to
τοσοῦτον ἤλασαν κουφοδοξίας ἀκολασίᾳ ὡς καὶ τὸν θεὸν
so-far drove of-vanity by-intemperance as even — God
ἀγνοῆσαι καὶ προσκυνῆσαι εἰδώλοις. ἥψαντο δὲ καὶ οἱ
to-be-ignorant-of and to-worship idols partook and also those
περὶ τὸν ἀπόστολον Πέτρον τῆς χρήσεως τοῦ οἴνου, ὡς
around the apostle Peter of-the use of-the wine so-that
καὶ αὐτὸν ὀνειδίζεσθαι τὸν διδάσκαλον τούτων τὸν σωτῆρα
even himself to-be-reproached the teacher of-these the savior
ἐπὶ τῇ μεταλήψει, λεγόντων τῶν Ἰουδαίων· Ἵνα τί οἱ
for the partaking saying the Jews for what the

μαθηταί σου οὐ νηστεύουσιν ὡς καὶ οἱ τοῦ Ἰωάννου; καὶ
disciples your not fast as also those — of-John and
πάλιν τοῖς μαθηταῖς ἐπεμβαίνοντες ὀνειδισμοῖς ἔλεγον· Ὁ
again on-the disciples attacking with-reproaches they-said the
διδάσκαλος ὑμῶν μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει
teacher your with the tax-collectors and sinners eats
καὶ πίνει. οὐκ ἂν δὲ ἐπὶ ἄρτου καὶ ὕδατος ἐπελαμβάνοντο
and drinks not — and for bread and water they-would-have-laid-hold
ἀλλ' ἐπ' ὄψων καὶ οἴνου δηλονότι· οἷς πάλιν ἀλόγως
but for relishes and wine evidently to-whom again irrationally
θαυμάζουσιν ὑδροποσίαν καὶ ψέγουσιν οἰνοποσίαν ἔλεγεν
admiring water-drinking and blaming wine-drinking said
ὁ σωτήρ· Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, μήτε
the savior came John in (the)-way of-righteousness neither
ἐσθίων μήτε πίνων — δηλαδὴ κρέα καὶ οἶνον, δίχα γὰρ
eating nor drinking evidently meat and wine apart-from for
τῶν ἄλλων ζῆν οὐκ ἠδύνατο — καὶ λέγουσι· Δαιμόνιον
the other(-things) to-live not he-could and they-say (a)-demon
ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ
he-has came the son of-the man eating and drinking and
λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν
they-say behold (a)-man glutton and wine-drinker of-tax-collectors
φίλος καὶ ἁμαρτωλῶν, διὰ τὸ ἐσθίειν καὶ πίνειν. τί
friend and of-sinners because-of the to-eat and to-drink what
οὖν ἡμεῖς ποιήσωμεν; μήτε τοῖς ψέγουσι μήτε τοῖς
then we shall-we-do neither the(-ones) blaming nor the(-ones)
ἐπαινοῦσιν ἀκολουθήσωμεν, ἀλλ' ἢ μετὰ Ἰωάννου λόγῳ
praising let-us-follow but either with John with-reason
νηστεύσωμεν κἂν εἴπωσι· Δαιμόνιον ἔχουσιν· ἢ μετ'
let-us-fast even-if they-say (a)-demon they-have or with
Ἰησοῦ ἐν σοφίᾳ οἰνοποτήσωμεν, εἰ χρῄζει τὸ σῶμα, κἂν
Jesus in wisdom let-us-drink-wine if needs the body even-if

εἴπωσιν· Ἰδοὺ ἄνθρωποι φάγοι καὶ οἰνοπόται. οὔτε γὰρ ἡ
they-say behold men gluttons and wine-drinkers neither for the
βρῶσίς ἐστί τι κατὰ ἀλήθειαν οὔτε ἡ ἀποχή, ἀλλὰ
eating is anything according-to truth nor the abstaining but
πίστις δι' ἀγάπης τοῖς ἔργοις παρεκτεινομένη. ὅταν
faith through love to-the works extended when
γὰρ πάσῃ πράξει παρακολουθήσῃ ἡ πίστις, ἀκατάκριτος
for every action accompanies the faith (is)-uncondemned
ὁ ἐσθίων καὶ πίνων διὰ τὴν πίστιν· πᾶν γὰρ ὃ
the(-one) eating and drinking because-of the faith all for which
οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν. ἀλλ' ἐπειδὴ πᾶς τις ἐρεῖ
not from faith sin is but since every one will-say
τῶν πλημμελούντων πίστει μεταλαμβάνειν ἢ ἕτερόν τι
of-those offending by-faith to-partake or other anything
πράττειν ἀλόγῳ πληροφορίᾳ καὶ διεφθαρμένῳ τῷ
to-do with-irrational assurance and corrupted with-the
συνειδότι, ὁ σωτὴρ διεστείλατο λέγων· Ἐκ τῶν καρπῶν
conscience the savior distinguished saying from the fruits
αὐτῶν ἐπιγνώσεσθε αὐτούς. ὅτι δὲ ὁ καρπὸς τῶν λόγῳ
their you-will-know them that and the fruit of-those with-reason
πολιτευομένων καὶ συνέσει κατὰ τὸν θεῖον ἀπόστολον
living and understanding according-to the divine apostle
ἀγάπη ἐστὶ καὶ χαρὰ καὶ εἰρήνη καὶ μακροθυμία,
love is and joy and peace and long-suffering
χρηστότης, ἀγαθωσύνη, πίστις, πραΰτης, καὶ ἐγκράτεια,
kindness goodness faith meekness and self-control
ὡμολόγηται. αὐτὸς γὰρ ἔλεγε Παῦλος· Ὁ γὰρ καρπὸς τοῦ
has-been-agreed himself for said Paul the for fruit of-the
πνεύματός ἐστι τὰ καὶ τά. ὅτι δὲ ὁ σπουδάζων
spirit is the(-things) and the(-things) that and the(-one) striving
τοιούτους ἔχειν καρποὺς ἀλόγως ἢ ἀσκόπως ἢ ἀκαίρως
such to-have fruits irrationally or aimlessly or unseasonably

οὐ βρώσεται κρέα οὐδὲ πίεται οἶνον, οὐδὲ συνοικήσει τινὶ
not will-eat meat nor will-drink wine nor will-dwell-with any
κακῷ συνειδότι, πάλιν ἔλεγεν ὁ αὐτὸς Παῦλος ὅτι Πᾶς
evil conscience again said the same Paul that every
ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ὑγιαινούσης μὲν
the(-one) contending in-all-things exercises-self-control being-healthy indeed
τῆς σαρκὸς ἀπεχόμενος τῶν παιινόντων, ἀρρωστούσης
the flesh abstaining-from the(-things) fattening being-sick
δὲ ἢ ὀδυνωμένης ἢ καὶ λύπαις καὶ περιστάσεσι κοινωνούσης
but or being-in-pain or even in-griefs and in-difficulties sharing
χρήσεται μὲν βρώμασιν ἢ πόμασιν ὡς φαρμάκοις εἰς
he-will-use indeed foods or drinks as medicines for
ἴασιν τῶν λυπούντων, ἀφέξεται δὲ τῶν κατὰ
healing of-the(-things) grieving he-will-abstain but from-the according-to
ψυχὴν βλαβερῶν, ὀργῆς, φθόνου, κενοδοξίας, ἀκηδίας,
soul harmful(-things) anger envy vainglory listlessness
καταλαλιᾶς καὶ ὑπονοίας ἀλόγου, εὐχαριστῶν ἐν κυρίῳ.
slander and suspicion irrational giving-thanks in (the)-Lord
Αὐτάρκως τοίνυν περὶ τούτου διαλαβὼν πάλιν ἄλλην
sufficiently therefore about this having-discussed again another
παράκλησιν προσάγω σου τῇ φιλομαθείᾳ. φεῦγε ὅση
exhortation I-bring your to-the love-of-learning flee as-much-as
δύναμις συντυχίας ἀνδρῶν ὄφελος οὐδὲν ἐχόντων καὶ
(is)-power meetings of-men profit nothing having and
κοσμούντων τὸ δέρμα ἀκαταλλήλως, κἂν ὀρθόδοξοι εἶεν,
adorning the skin unsuitably even-if orthodox they-be
μή τί γε αἱρετικῶν, βλαπτόντων τῇ ὑποκρίσει, κἂν
not at-all at-least of-heretics harming by-the hypocrisy even-if
δόξωσι πολιαῖς ἢ ῥυτίσιν ἐπισύρεσθαι μῆκος χρόνου.
they-seem with-gray-hairs or wrinkles to-drag-along length of-time
κἂν γὰρ μηδὲν βλαβῇς παρ᾽ αὐτῶν δι᾽ εὐγένειαν
even-if for nothing you-be-harmed by them through nobility

τρόπων, τὸ γοῦν ἔλαττον χαυνωθήσῃ ἢ ἐπαρθήσῃ
of-manners the at-any-rate less you-will-be-puffed-up or you-will-be-lifted-up
καταγελῶν τούτων, ὅπερ ἐστί σοι βλάβη. ὑπὲρ δὲ
laughing-at these which is to-you harm beyond but
θυρίδα φωτεινὴν μεταδίωκε ἀνδρῶν τε καὶ γυναικῶν
(a)-window bright pursue of-men both and of-women
ὁσίας συντυχίας, ἵνα διὰ τούτων, καθάπερ †λεπτόγραφον
holy meetings that through these as fine-written
βιβλίον†, δυνηθῇς σαφῶς ἰδεῖν καὶ τὴν σὴν καρδίαν, διὰ
book you-may-be-able clearly to-see also the your heart through
τῆς παραθέσεως τὴν ῥαθυμίαν ἢ τὴν ἀμέλειαν δυνάμενος
the comparison the slackness or the negligence being-able
τὴν σὴν δοκιμάζειν. ἥ τε γὰρ χρόα τῶν προσώπων
the your to-test the both for color of-the faces
ἐπανθοῦσα τῇ πολιᾷ καὶ ὁ στολισμὸς τῆς ἐσθῆτος καὶ
blooming with-the gray-hair and the attire of-the clothing and
ἡ ἀτυφία τῶν λόγων καὶ ἡ εὐλάβεια τῶν λέξεων καὶ
the unpretentiousness of-the words and the reverence of-the expressions and
τὸ χαρίεν τῶν νοημάτων ἐνδυναμώσει σε, κἂν ἐν ἀκηδίᾳ
the grace of-the thoughts will-strengthen you even-if in listlessness
τυγχάνῃς. Στολισμὸς γὰρ ἀνδρὸς καὶ βῆμα ποδὸς καὶ
you-happen-to-be attire for of-man and step of-foot and
γέλως ὀδόντων ἀναγγελεῖ περὶ αὐτοῦ καθὼς ἡ σοφία λέγει.
laughter of-teeth will-announce about him as the wisdom says
Ἀρξάμενος τοίνυν τῶν διηγήσεων οὐ τοὺς ἐν ταῖς πόλεσιν
having-begun therefore the narratives not those in the cities
οὔτε τοὺς ἐν ταῖς κώμαις ἢ ἐρημίαις σοι καταλείψω
nor those in the villages or deserts to-you I-will-leave
ἀγνώστους τῷ λόγῳ. οὐ γὰρ ὁ τόπος ἐστὶν ὁ
unknown in-the account not for the place is the(-thing)

ζητούμενος ἔνθα κατῴκησαν οὗτοι, ἀλλ᾽ ὁ τρόπος τῆς
sought where dwelt these but the manner of-the
προαιρέσεως.
choice

II · ALEXANDRIA

Palladius comes to Alexandria in the second consulship of Theodosius and meets Isidore, the church's guest-master, who sends him to Dorotheus, a Theban ascetic in a cave; illness takes him away before his three years are done. Isidore tells Antony's story of Potamiaena, a slave-girl who refused her master and was let down into boiling pitch. Palladius visits Didymus the blind writer, hears of Alexandra, who shut herself in a tomb for ten years, and tells how the presbyter Macarius tricked a miserly rich virgin out of five hundred coins for his poorhouse.

Πρώτως πατήσας τὴν Ἀλεξανδρέων πόλιν ἐν τῇ δευτέρᾳ 1
first having-trodden the of-Alexandrians city in the second
ὑπατίᾳ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, ὃς νῦν ἐν
consulship of-Theodosius the great emperor who now among
ἀγγέλοις ὑπάρχει διὰ τὴν αὐτοῦ πίστιν εἰς τὸν Χριστόν,
angels is because-of the his faith in — Christ
περιέτυχον ἐκεῖσε ἀνδρὶ θαυμασίῳ παντόθεν κεκοσμημένῳ
I-met there (a)-man wonderful on-every-side adorned
ἔν τε ἤθει καὶ γνώσει, Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ
in both character and knowledge Isidore the presbyter
ξενοδόχῳ ὄντι τῆς Ἀλεξανδρέων ἐκκλησίας· ὃς τὰ μὲν
guest-master being of-the of-Alexandrians church who the indeed
πρῶτα τῆς νεότητος ἆθλα ἐλέγετο ἠνυκέναι ἐν τῇ
first(-things) of-the youth contests was-said to-have-accomplished in the
ἐρήμῳ· οὗ καὶ τὴν κέλλαν ἐθεασάμην ἐν τῷ ὄρει τῆς
desert of-whom also the cell I-beheld in the mountain —

Νιτρίας. κατέλαβον δὲ τοῦτον ἐτῶν ἑβδομήκοντα γέροντα,
of-Nitria I-found and this(-man) of-years seventy old-man
ὃς ἐπιζήσας πεντεκαίδεκα ἔτη ἄλλα τελευτᾷ ἐν εἰρήνῃ.
who having-lived-on fifteen years other dies in peace
οὗτος μέχρις αὐτῆς τελευτῆς οὐκ ὀθόνην ἐφόρεσεν ἐκτὸς
this(-man) until itself death not linen wore except
φακιολίου, οὐ λουτροῦ ἥψατο, οὐ κρεῶν μετέλαβεν· ὃς ἔσχε
(a)-headband not (a)-bath touched not meat partook who had
τοιοῦτον τὸ σωμάτιον ὑπὸ τῆς χάριτος συγκροτούμενον, ὡς
such the little-body by the grace knit-together that
προσδοκῆσαι πάντας τοὺς ἀγνοοῦντας αὐτοῦ τὴν δίαιταν ὅτι
to-expect all those not-knowing his the diet that
ἐν τρυφῇ διάγει. τούτου τὰς ἀρετὰς τῆς ψυχῆς ἐὰν θέλω
in luxury he-lives of-this(-man) the virtues of-the soul if I-wish
διηγήσασθαι κατὰ μέρος ἐπιλείψει με ὁ χρόνος· ὃς τοσοῦτον
to-relate by part will-fail me the time who so-much
ἦν φιλάνθρωπος καὶ εἰρηνικός, ὡς καὶ αὐτοὺς τοὺς ἐχθροὺς
was humane and peaceable that even very the enemies
αὐτοῦ τοὺς ἀπίστους αἰδεῖσθαι αὐτοῦ τὴν σκιὰν διὰ τὸ
his the unbelievers to-revere his the shadow because-of the
λίαν χρηστόν. τοσαύτην δὲ ἔσχε γνῶσιν τῶν ἁγίων γραφῶν
very kind such and he-had knowledge of-the holy scriptures
καὶ τῶν θείων δογμάτων, ὡς καὶ παρ᾽ αὐτὰ τὰ συμπόσια
and of-the divine doctrines that even at very the banquets
τῶν ἀδελφῶν ἐξίστασθαι τὴν διάνοιαν καὶ ἐνεάζειν· καὶ
of-the brothers to-be-out-of-himself the mind and to-be-dumbstruck and
παρακαλούμενος διηγήσασθαι τὰ τῆς ἐκστάσεως, ἔλεγεν
being-urged to-relate the(-things) of-the ecstasy he-said
ὅτι Ἀπεδήμησα τῇ διανοίᾳ, ἁρπαγεὶς ὑπὸ θεωρίας
that I-went-abroad in-the mind having-been-snatched by contemplation
τινός. ἔγνων κἀγὼ τοῦτον πολλάκις δακρύσαντα ἐπὶ
a-certain knew I-too him often having-wept at

τραπέζης, καὶ τὴν αἰτίαν πυθόμενος τῶν δακρύων ἤκουσα
table and the cause having-inquired of-the tears I-heard
αὐτοῦ λέγοντος ὅτι Αἰδοῦμαι μεταλαμβάνων ἀλόγου
him saying that I-am-ashamed partaking of-irrational
τροφῆς, λογικὸς ὑπάρχων καὶ ὀφείλων ἐν παραδείσῳ τρυφῆς
food rational being and owing in (the)-paradise of-delight
διάγειν διὰ τὴν δοθεῖσαν ἡμῖν παρὰ Χριστοῦ ἐξουσίαν.
to-live because-of the given to-us from Christ authority
οὗτος γνώριμος ὢν τῇ κατὰ Ῥώμην συγκλήτῳ πάσῃ
this(-man) known being to-the in Rome senate all
καὶ ταῖς γυναιξὶ τῶν μεγιστάνων, ὁπηνίκα σὺν Ἀθανασίῳ
and to-the wives of-the magnates when with Athanasius
τῷ ἐπισκόπῳ ἀπεληλύθει τὸ πρῶτον, ἔπειτα σὺν Δημητρίῳ
the bishop he-had-gone-away the first(-time) then with Demetrius
τῷ ἐπισκόπῳ, καὶ περισσεύων πλούτῳ καὶ ἀφθονίᾳ χρειῶν,
the bishop and abounding in-wealth and abundance of-necessities
οὐ διαθήκην ἔγραψε τελευτῶν, οὐ νόμισμα καταλέλοιπεν,
not (a)-will he-wrote dying not (a)-coin has-left
οὐ πρᾶγμα ταῖς ἰδίαις αὐτοῦ ἀδελφαῖς παρθένοις οὔσαις·
not (a)-thing to-the own his sisters virgins being
ἀλλὰ παρέθετο αὐτὰς τῷ Χριστῷ λέγων· Ὁ κτίσας
but he-entrusted them — to-Christ saying the(-one) having-created
ὑμᾶς οἰκονομήσει ὑμῖν τὴν ζωὴν, ὡς κἀμέ. ἦν δὲ σὺν
you will-order for-you the life as also-me was and with
ταῖς ἀδελφαῖς αὐτοῦ σύστημα παρθένων ἑβδομήκοντα.
the sisters his (a)-company of-virgins seventy
Οὗτος φοιτήσαντί μοι νέῳ ὄντι πρὸς αὐτὸν καὶ
this(-man) having-come to-me young being to him and
παρακαλοῦντι στοιχειωθῆναι ἐν τῷ μονήρει βίῳ, σφριγώσης
asking to-be-instructed in the solitary life swelling
ἔτι τῆς ἡλικίας καὶ λόγου μὴ δεομένης ἀλλὰ πόνων τῶν
still the age and of-word not needing but of-labors of-those

κατὰ σάρκα, ὡς καλὸς πωλοδάμνης ἐξήγαγέ με ἔξω
according-to (the)-flesh as (a)-good colt-tamer led-out me outside
τῆς πόλεως εἰς τὰ λεγόμενα ἐρημικὰ ἀπὸ σημείων πέντε·
of-the city to the called desert-places from miles five
2 καὶ παραδοὺς Δωροθέῳ τινὶ ἀσκητῇ Θηβαίῳ ἑξηκοστὸν
and having-handed-over to-Dorotheus a-certain ascetic Theban sixtieth
ἄγοντι ἔτος ἐν τῷ σπηλαίῳ, κελεύει μοι πληρῶσαι παρ᾽
leading year in the cave he-orders me to-complete with
αὐτῷ τρία ἔτη πρὸς δαμασμὸν τῶν παθῶν· ἠπίστατο
him three years for (the)-taming of-the passions he-knew
γὰρ τὸν γέροντα μεγάλῃ σκληραγωγίᾳ συζῶντα· πάλιν
for the old-man in-great hardship living-with again
ἐπανακάμπτειν πρὸς αὐτὸν ἐντειλάμενος διδασκαλίας
to-return to him having-commanded of-teaching
ἕνεκεν πνευματικῆς. μὴ δυνηθεὶς δὲ τρία ἔτη πληρῶσαι,
for-the-sake spiritual not having-been-able but three years to-complete
ἀρρωστίᾳ περιπεσών, οὕτως πρὸ τῶν τριῶν ἤρθην
with-sickness having-fallen-in thus before the three I-was-taken-away
ἀπ᾽ αὐτοῦ· ἦν γὰρ αὐτοῦ ἡ δίαιτα αὐχμώδης καὶ ξηροτάτη.
from him was for his the diet squalid and most-dry
διὰ πάσης μὲν γὰρ τῆς ἡμέρας ἐν τῷ καύματι ἐν τῇ
through all indeed for the day in the heat in the
ἐρήμῳ τῇ παρὰ θάλασσαν συνῆγε λίθους, καὶ τούτους
desert the(-one) by (the)-sea he-gathered stones and these
ἀεὶ οἰκοδομῶν καὶ κέλλας ποιῶν παρεχώρει τοῖς μὴ
always building and cells making he-yielded(-them) to-those not
δυναμένοις οἰκοδομεῖν, κατ᾽ ἔτος τελειῶν κέλλαν μίαν.
able to-build each year completing cell one
ἐμοῦ δέ ποτε εἰρηκότος αὐτῷ· Τί ποιεῖς, πάτερ, ἐν γήρᾳ
me and once having-said to-him what do-you-do father in old-age
τοσούτῳ ἀποκτείνων σοῦ τὸ σωμάτιον ἐν τοῖς καύμασι
so-great killing your the little-body in the heats

τούτοις; ἀπεκρίνατο λέγων· Ἀποκτείνει με, ἀποκτείνω αὐτό.
these he-answered saying it-kills me I-kill it
ἤσθιε μὲν γὰρ οὐγγίας ἓξ ἄρτου καὶ λεπτολαχάνων δέμα,
he-ate indeed for ounces six of-bread and of-small-herbs (a)-bundle
ἔπινε δὲ ὕδατος τὸ ὅσον. ἐπὶ θεῷ μάρτυρι οὐκ ἔγνων
he-drank and of-water the as-much-as before God witness not I-knew
αὐτὸν ἁπλώσαντα πόδας, οὐ καθευδήσαντα ἐπὶ ψιαθίου,
him having-stretched-out (his)-feet not having-slept on (a)-mat
οὐκ ἐπὶ κλίνης· ἀλλὰ διὰ πάσης νυκτὸς καθήμενος
not on (a)-bed but through all (the)-night sitting
ἔπλεκε σειρὰν τὴν ἐκ θαλλῶν φοινίκων εἰς λόγον
he-plaited (a)-rope the from shoots of-palms for (the)-account
τροφῆς. προσδοκήσας δὲ ὅτι ἐπ᾽ ἐμοῦ τοῦτο ἐποίει,
of-food having-supposed and that on-account-of me this he-was-doing
ἐφιλοπεύστησα καὶ παρὰ ἄλλων τῶν τούτου μαθητῶν
I-inquired-closely and from others the his disciples
ἀκριβώσας, οἵτινες ἔμενον κατ᾽ ἰδίαν, λέγοντες ὅτι ἀπὸ
having-ascertained who remained in private saying that from
νεότητος ταύτην ἔσχε τὴν πολιτείαν, μηδέ ποτε κοιμηθεὶς
youth this he-had the way-of-life not ever having-gone-to-sleep
ἐξεπίτηδες, εἰ μή τι ἐργαζόμενος ἢ ἐσθίων ἐκάμμυσε
on-purpose if not some(-thing) working or eating he-closed
τὸν ὀφθαλμὸν κατενεχθεὶς ὕπνῳ, ὥστε πολλάκις καὶ τὸν
the eye brought-down by-sleep so-that often even the
ψωμὸν ἐκπίπτειν ἐκ τοῦ στόματος αὐτοῦ κατὰ τὸν
morsel to-fall-out from the mouth his at the
καιρὸν τοῦ φαγεῖν ὑπερβολῇ νυσταγμοῦ. ἀναγκάζοντος
time of-the to-eat by-excess of-drowsiness compelling
δέ μου αὐτόν ποτε μικρὸν ἐπὶ τῆς ψιάθου ἀναπεσεῖν,
and me him once a-little on the mat to-lie-down
ὑπολυπούμενος ἔλεγεν· Ἐὰν πείσῃς τοὺς ἀγγέλους
being-somewhat-grieved he-said if you-persuade the angels

κοιμηθῆναι, πείσεις καὶ τὸν σπουδαῖον. ἐν τῷ φρέατι
to-sleep you-will-persuade also the zealous(-man) in the well
αὐτοῦ περὶ ὥραν ἐννάτην ἀπέστειλέ μέ ποτε πληρῶσαι τὸν
his about (the)-hour ninth he-sent me once to-fill the
κάδον εἰς λόγον μεταλήψεως. ἔτυχε δέ με ἀπελθόντα
bucket for (the)-account of-(the)-meal it-happened and me having-gone
ἀσπίδα ἐν τῷ φρέατι κάτω ἰδεῖν, καὶ μηκέτι ἀντλῆσαι τὸ
(an)-asp in the well below to-see and no-longer to-draw the
ὕδωρ, ἀλλ᾽ ἀπελθόντα εἰπεῖν αὐτῷ· Ἀπεθάνομεν, ἀββᾶ·
water but having-gone-away to-say to-him we-have-died abba
ἀσπίδα γὰρ εἶδον ἐν τῷ φρέατι. ὁ δὲ ὑπομειδιάσας
(an)-asp for I-saw in the well he but having-smiled-slightly
σεμνὸν ἐπὶ πολύ μοι προσέσχε, καὶ σείσας τὴν κεφαλὴν
gravely for long me he-regarded and having-shaken the head
ἔλεγεν· Ἐὰν δόξῃ τῷ διαβόλῳ κατὰ πᾶν φρέαρ
he-said if it-seem-good to-the devil in every well
γενέσθαι ὄφιν ἢ χελώνην καὶ ἐμπίπτειν εἰς τὰς πηγὰς
to-become (a)-snake or (a)-tortoise and to-fall into the springs
τῶν ὑδάτων, σὺ μένεις μηδέποτε πίνων; καὶ ἐξελθὼν
of-the waters you remain never drinking and having-gone-out
καὶ δι᾽ ἑαυτοῦ ἀντλήσας, νῆστις πρῶτος ἀπερρόφησεν
and by himself having-drawn fasting first he-gulped-down
εἰπών· Ὅπου σταυρὸς ἐπιφοιτᾷ οὐκ ἰσχύει κακία τινός.
having-said where (the)-cross visits not prevails malice of-anyone
3 Ὁ μακάριος οὗτος Ἰσίδωρος συντετυχηκὼς Ἀντωνίῳ τῷ
the blessed this Isidore having-met Antony the
μακαρίτῃ γραφῆς ἄξιον διηγήσατό μοι πρᾶγμα, ἀκηκοὼς
blessed(-one) of-writing worthy related to-me (a)-matter having-heard
παρ᾽ αὐτοῦ ὅτι Ποταμιαίνα τις οὕτω καλουμένη κατὰ τὸν
from him that Potamiaena a-certain so called at the
καιρὸν Μαξιμιανοῦ τοῦ διώκτου ὡραιοτάτη κόρη ὑπῆρχε
time of-Maximian the persecutor most-beautiful girl was

παιδίσκη τινός· ἣν πολλαῖς λιπαρήσας ὑποσχέσεσιν
slave-girl of-someone whom with-many having-pressed promises
ὁ ταύτης δεσπότης ἀναπεῖσαι οὐκ ἠδυνήθη· τελευταῖον
the her master to-persuade not was-able at-last
δὲ μανεὶς παραδίδωσιν αὐτὴν τῷ τότε ἐπάρχῳ τῆς
and having-raged he-hands-over her to-the then prefect —
Ἀλεξανδρείας, ἔκδοτον αὐτὴν δοὺς ὡς χριστιανὴν καὶ
of-Alexandria given-up her having-given as Christian and
βλασφημοῦσαν τοὺς καιροὺς καὶ τοὺς βασιλεῖς ἐπὶ
blaspheming the times and the emperors on-account-of
τοῖς διωγμοῖς, ὑποθέμενος αὐτῷ μετὰ χρημάτων ὅτι Ἐὰν
the persecutions having-suggested to-him with money that if
συνθῆταί μου τῷ σκόπῳ, ἀτιμώρητον αὐτὴν φύλαξον· ἐὰν
she-agree my to-the aim unpunished her keep if
δὲ ἐπιμένῃ τῇ αὐστηρίᾳ, παρακαλῶ σε τιμωρηθῆναι αὐτήν,
but she-persist in-the austerity I-exhort you to-be-punished her
ἵνα μὴ ζῶσα καταγελάσῃ τῆς ἀσωτίας μου. ἀχθεῖσα
that not living she-may-mock-at the profligacy my having-been-brought
δὲ πρὸ τοῦ βήματος διαφόροις ὀργάνοις τιμωρητικοῖς
and before the tribunal by-various instruments punishing
ἐπυργομαχεῖτο τὴν γνώμην. ἐν οἷς ὀργάνοις καὶ λέβητα
she-was-assaulted the mind in which instruments also (a)-caldron
μέγαν πλήσας πίσσης ἐκέλευσεν ὑποκαίεσθαι ὁ δικαστής.
great having-filled with-pitch he-ordered to-be-heated-from-below the judge
βραζούσης οὖν τῆς πίσσης καὶ σφοδρῶς ἐκκαιομένης,
boiling then the pitch and fiercely burning
προέτεινεν αὐτῇ· Ἢ ἄπελθε, ὑποτάγηθι τοῖς θελήμασι
he-proposed to-her either go-away submit to-the wills
τοῦ δεσπότου σου· ἢ ἵνα εἰδῇς ὅτι ἐν τῷ λέβητί
of-the master your or that you-may-know that in the caldron
σε καταβιβασθῆναι κελεύω. ἡ δὲ ἀπεκρίνατο λέγουσα·
you to-be-lowered I-order she but answered saying

Μὴ γένοιτό ποτε τοιοῦτος δικαστὴς ὃς κελεύει ἀσωτίᾳ
not may-there-be ever such (a)-judge who orders to-profligacy
ὑποτάσσεσθαι. μανεὶς οὖν ἐκεῖνος κελεύει ἐκδυθεῖσαν
to-submit having-raged then that(-man) orders stripped
αὐτὴν βληθῆναι ἐν τῷ λέβητι. ἡ δὲ φωνὴν ἀφίησιν
her to-be-thrown in the caldron she but (a)-voice lets-go
εἰποῦσα· Τὴν κεφαλήν σοι τοῦ βασιλέως σου ὃν σὺ φοβῇ,
having-said the head to-you of-the emperor your whom you fear
εἰ κέκριταί σοι τιμωρήσασθαί με οὕτω, κατὰ μικρὸν
if it-has-been-decided by-you to-punish me thus by little
κέλευσον χαλασθῆναί με ἐν τῷ λέβητι, ἵνα εἰδῇς πόσην
order to-be-let-down me in the caldron that you-may-know how-much
μοι χαρίζεται ὑπομονὴν ὁ Χριστὸς ὃν σὺ ἀγνοεῖς. καὶ
to-me grants endurance — Christ whom you are-ignorant-of and
χαλωμένη κατὰ μικρὸν ἐπὶ παράτασιν ὥρας ἐξέψυξε,
being-let-down by little for (a)-lengthening of-(an)-hour she-expired
φθασάσης τῆς πίσσης περὶ τὸν τράχηλον αὐτῆς.
having-reached the pitch around the neck her

4 Πλεῖστοι μὲν οὖν ὅσοι καὶ ὅσαι ἐτελειώθησαν
very-many indeed then as-many-men-as and as-many-women-as were-perfected
ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ, ἄξιοι τῆς γῆς τῶν πραέων.
in the of-Alexandrians church worthy of-the earth of-the meek
ἐν οἷς καὶ Δίδυμος ὁ συγγραφεύς, ὁ ἀπὸ ὀμμάτων
among whom also Didymus the writer the(-one) from eyes
γενόμενος· οὗ καὶ συντυχίας ἔσχηκα τέσσαρας ἐκ
having-become of-whom also meetings I-have-had four at
διαλειμμάτων πρὸς αὐτὸν ἀπερχόμενος ἐπὶ δέκα ἔτη.
intervals to him going-away for ten years
τελειοῦται γὰρ ἐτῶν ὀγδοήκοντα πέντε. οὗτος ἀπὸ
he-is-perfected for of-years eighty five this(-man) from
ὀμμάτων ὑπῆρχεν, ὡς αὐτός μοι διηγήσατο, τετραέτης
eyes was as himself to-me related four-years-old

τὰς ὄψεις ἀποβαλών, μήτε γράμματα μεμαθηκὼς μήτε
the sight having-lost neither letters having-learned nor
διδασκάλοις φοιτήσας· εἶχε γὰρ τὸν κατὰ φύσιν
to-teachers having-gone he-had for the according-to nature
διδάσκαλον ἐρρωμένον, τὸ ἴδιον συνειδός· ὃς τοσαύτῃ
teacher strong the own conscience who with-such
χάριτι ἐκεκόσμητο γνώσεως ὡς καθ' ἱστορίαν πληροῦσθαι
grace was-adorned of-knowledge that according-to history to-be-fulfilled
ἐπ' αὐτῷ τὸ γεγραμμένον· Κύριος σοφοῖ τυφλούς.
in him the(-thing) written (the)-Lord makes-wise (the)-blind
παλαιὰν γὰρ καὶ καινὴν διαθήκην ἡρμήνευσε κατὰ λέξιν·
old for and new testament he-interpreted by word
τῶν δὲ δογμάτων οὕτως ἐπεμελήθη, λεπτῶς καὶ ἰσχυρῶς
the and doctrines thus he-took-care-of subtly and strongly
ἐκθέμενος τὸν περὶ αὐτῶν λόγον, ὡς πάντας ὑπερβάλλειν
having-set-out the about them account that all(-men) to-surpass
τοὺς ἀρχαίους ἐν γνώσει. ἀναγκάζοντος δὲ αὐτοῦ ποτε
the ancients in knowledge compelling and him once
ποιῆσαί με ἐν τῷ κελλίῳ αὐτοῦ εὐχήν, καὶ μὴ βουλομένου
to-make me in the cell his (a)-prayer and not wishing
μου, ἔλεγε διηγούμενος ὅτι Εἰς τὴν κέλλαν ταύτην τρίτον
me he-said relating that into the cell this three-times
εἰσῆλθεν ὁ μακάριος Ἀντώνιος ἐπισκεψάμενός με· καὶ
entered the blessed Antony having-visited me and
παρακληθεὶς παρ' ἐμοῦ ποιῆσαι εὐχὴν εὐθὺς ἔκλινε γόνυ
having-been-asked by me to-make (a)-prayer at-once he-bent (the)-knee
ἐν τῷ κελλίῳ, καὶ οὐ παρεσκεύασέ με δευτερῶσαι τὸν
in the cell and not he-allowed me to-repeat the
λόγον, ἔργῳ με παιδεύσας ἐν τῇ ὑπακοῇ. ὥστε εἰ κατ' ἴχνος
word by-deed me having-taught in the obedience so-that if in footstep
βαίνεις τῆς αὐτοῦ πολιτείας, ἅτε μονάζων καὶ δι' ἀρετὴν
you-walk of-the his way-of-life as being-solitary and through virtue

ξενιτεύων, ἀπόθου τὴν φιλονεικίαν. διηγήσατο δέ μοι καὶ
living-abroad put-off the contentiousness he-related and to-me also
τοῦτο, ὅτι Φροντίζοντός μου περὶ τῆς ζωῆς Ἰουλιανοῦ
this that taking-thought me about the life of-Julian
τοῦ ἀθλίου βασιλέως ὡς διώκτου, καὶ ἀδημονοῦντος, μιᾷ
the wretched emperor as persecutor and being-distressed on-one
τῶν ἡμερῶν ἤμην μέχρις ἑσπέρας βαθείας μὴ γευσάμενος
of-the days I-was until evening deep not having-tasted
ἄρτου ἕνεκεν τῆς φροντίδος ταύτης, ἔτυχεν ἐν τῷ
bread because-of the anxiety this it-happened in the
τὸ τίς ἐστιν. ἦσαν δὲ τέσσαρες· οὓς δήσας πάντας
the who he-is were and four whom having-bound all
καὶ καθάπερ ζαβέρναν ἐπιθεὶς ἀχύρου τῷ νώτῳ ἤνεγκεν
and like (a)-sack having-put of-chaff on-the back he-brought
εἰς τὴν ἐκκλησίαν τῶν ἀδελφῶν εἰπών· Ἐπειδὴ οὐκ
to the church of-the brothers having-said since not
ἔξεστί μοι ἀδικεῖν οὐδένα, τί κελεύετε περὶ τούτων;
it-is-allowed to-me to-wrong anyone what do-you-order about these
οὕτως ἐκεῖνοι ἐξομολογησάμενοι, καὶ γνόντες ὅτι Μωσῆς
thus they having-confessed and having-known that Moses
ἐστὶν ἐκεῖνος, ὅ ποτε ὀνομαστὸς καὶ περιβόητος ἐν
is that(-man) the(-one) once named and famous among
τοῖς λῃσταῖς, δοξάσαντες τὸν θεὸν κἀκεῖνοι ἀπετάξαντο
the robbers having-glorified — God they-too renounced(-the-world)
διὰ τὴν τούτου μεταβολήν, λογισάμενοι ὅτι Εἰ οὗτος
because-of the his change having-reasoned that if this(-man)
ὁ οὕτως ἱκανὸς καὶ δυνάμενος ἐν τοῖς ληστρικοῖς
the(-one) so able and powerful in the robber(-deeds)
τὸν θεὸν ἐφοβήθη, ἡμεῖς τί ἀναβαλλόμεθα τὴν σωτηρίαν;
— God feared we why do-we-put-off the salvation
Τούτῳ τῷ Μωσεῖ ἐπέθεντο δαίμονες εἰς τὴν συνήθειαν τῆς
on-this — Moses attacked demons to the habit of-the
ἀκολασίας τῆς πορνικῆς κατελαύνοντες· ὃς ἐπὶ τοσοῦτον
licentiousness the fornicating driving who to so-far
ἐπειράσθη, ὡς αὐτὸς διηγεῖτο, ὡς μικροῦ δεῖν τῆς
was-tempted as himself related as (by)-little lacking from-the
προθέσεως ἐξοκεῖλαι. παραγενόμενος οὖν πρὸς τὸν μέγαν
purpose to-run-aground having-come then to the great

Ἰσίδωρον τὸν ἐν τῇ Σκήτει, ἀνήνεγκε τὰ τοῦ
Isidore the(-one) in — Scetis he-reported the(-things) of-the
πολέμου. καὶ λέγει αὐτῷ· Μὴ λυπηθῇς· ἀρχαί εἰσι, καὶ
war and he-says to-him not be-grieved beginnings they-are and
διὰ τοῦτο σφοδρότερόν σοι ἐπέθεντο ζητοῦντες τὴν
because-of this more-vehemently on-you they-attacked seeking the
συνήθειαν. ὥσπερ γὰρ κύων ἐν μακέλλῳ τῇ συνηθείᾳ
habit as for (a)-dog in (the)-meat-market by-the habit
οὐκ ἀφίσταται, ἂν δὲ κλεισθῇ τὸ μάκελλον καὶ μηδεὶς αὐτῷ
not departs if but be-shut the meat-market and no-one to-it
μηδὲν δῷ, οὐκέτι ἐγγίζει· οὕτω καὶ σὺ ἐὰν ἐπιμείνῃς,
anything give no-longer it-comes-near thus also you if you-persist
ἀκηδιάσας ὁ δαίμων ἔχει σου ἀποστῆναι. ἀναχωρήσας
having-grown-listless the demon has from-you to-depart having-withdrawn
οὖν ἀπὸ τῆς ὥρας ἐκείνης σφοδρότερον ἠσκεῖτο,
then from the hour that more-vehemently he-practiced-discipline
καὶ μάλιστα ἀπὸ βρωμάτων, οὐδενὸς μεταλαμβάνων πλὴν
and especially from foods of-nothing partaking except
ἄρτου ξηροῦ ἐν δώδεκα οὐγγίαις, ἐργαζόμενος ἔργον
bread dry in twelve ounces working work
πλεῖστον, καὶ πεντήκοντα προσευχὰς ἐκτελῶν. κατατήξας
very-much and fifty prayers performing having-wasted
οὖν αὐτοῦ τὸ σωμάτιον, ἔμεινε πυρούμενος ἔτι καὶ
then his the little-body he-remained being-inflamed still and
ἐνυπνιαζόμενος. πάλιν παρέβαλεν ἄλλῳ τινὶ τῶν ἁγίων
dreaming again he-visited another some(-one) of-the saints
καὶ λέγει αὐτῷ· Τί ποιήσω ὅτι σκοτίζουσί μου τὸν
and says to-him what shall-I-do because darken my the
λογισμὸν τὰ ἐνύπνια τῆς ψυχῆς κατὰ συνήθειαν ἡδονῆς;
thought the dreams of-the soul according-to habit of-pleasure
λέγει αὐτῷ· Ἐπειδὴ τὸν νοῦν σου οὐκ ἀπέστησας τῶν
says to-him since the mind your not you-withdrew from-the

περὶ ταῦτα φαντασιῶν, τούτου χάριν ὑφίστασαι τοῦτο·
about these(-things) fantasies of-this for-the-sake you-undergo this
δὸς ἑαυτὸν εἰς ἀγρυπνίαν καὶ προσεύχου νηφόντως καὶ
give yourself to vigil and pray soberly and
ἐλευθεροῦσαι ἀπὸ τούτων ταχέως. ὃς ἀκούσας καὶ ταύτης
you-are-freed from these quickly who having-heard also this
τῆς ὑποθέσεως ἀπελθὼν ἐν τῇ κέλλῃ ἔδωκε λόγον μὴ
the counsel having-gone-away in the cell gave (his)-word not
κοιμηθῆναι διὰ πάσης νυκτός, μὴ κλῖναι γόνυ. μείνας
to-sleep through all (the)-night not to-bend (the)-knee having-remained
οὖν ἐν τῷ κελλίῳ ἐπὶ ἔτη ἕξ, τὰς νύκτας πάσας εἰς τὸ
then in the cell for years six the nights all in the
μέσον τοῦ κελλίου ἵστατο προσευχόμενος, ὀφθαλμὸν μὴ
middle of-the cell he-stood praying (an)-eye not
καμμύων· καὶ τοῦ πράγματος περιγενέσθαι οὐκ ἠδυνήθη.
closing and the thing to-overcome not he-was-able
ὑπέθετο οὖν ἑαυτῷ πάλιν ἄλλην πολιτείαν, καὶ ἐξερχόμενος
he-suggested then to-himself again another way-of-life and going-out
τὰς νύκτας ἀπῄει εἰς τὰς κέλλας τῶν γερόντων
the nights he-went-away to the cells of-the old-men
καὶ ἀσκητικωτέρων, καὶ λαμβάνων τὰς ὑδρίας αὐτῶν
and more-ascetic(-ones) and taking the water-jars their
λεληθότως ἐπλήρου ὕδατος. ἀπὸ μήκους γὰρ ἔχουσι τὸ
secretly he-filled(-them) of-water from distance for they-have the
ὕδωρ, οἱ μὲν ἀπὸ δύο, οἱ δὲ ἀπὸ πέντε σημείων,
water the(-ones) indeed from two the(-others) and from five miles
ἄλλοι ἀπὸ ἡμίσεος. μιᾶς οὖν τῶν νυκτῶν ἐπιτηρήσας ὁ
others from half on-one then of-the nights having-watched the
δαίμων καὶ μὴ καρτερήσας, ἐγκύψαντι αὐτῷ εἰς τὸ φρέαρ
demon and not having-endured having-stooped him into the well
δέδωκε κατὰ τῶν ψοῶν ῥοπάλῳ τινὶ καὶ ἀφῆκεν αὐτὸν
gave(-a-blow) on the loins with-club some and left him

νεκρόν, μὴ αἰσθανόμενον μήτε ὃ πέπονθε μήτε παρὰ
dead not perceiving either what he-had-suffered or from
τίνος. τὴν ἄλλην οὖν ἡμέραν ἐλθών τις ἀντλῆσαι ὕδωρ
whom the other then day having-come someone to-draw water
εὗρεν αὐτὸν ἐκεῖ κείμενον, καὶ ἀνήγγειλε τῷ μεγάλῳ
found him there lying and reported to-the great
Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ τῆς Σκήτεως. λαβὼν οὖν αὐτὸν
Isidore the presbyter — of-Scetis having-taken then him
ἀνήνεγκεν εἰς τὴν ἐκκλησίαν· καὶ ἐπὶ ἔτος ἓν ἐνόσησεν ὡς
he-brought to the church and for year one he-was-sick so-that
μόλις γενέσθαι τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχὴν ἐν ἰσχύϊ. λέγει
scarcely to-become the body his and the soul in strength says
οὖν αὐτῷ ὁ μέγας Ἰσίδωρος· Παῦσαι φιλονεικῶν, Μωσεῖ,
then to-him the great Isidore stop contending Moses
τοῖς δαίμοσι· μέτρα γάρ εἰσι καὶ τῆς ἀνδρείας τῆς ἐν
with-the demons measures for are also of-the courage the(-one) in
τῇ ἀσκήσει. ὁ δὲ λέγει αὐτῷ· Οὐ μὴ παύσωμαι μέχρις οὗ
the discipline he but says to-him not — I-will-stop until —
παύσηταί μου ἡ φαντασία τῶν δαιμόνων. λέγει οὖν αὐτῷ·
stops my the fantasy of-the demons says then to-him
Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πέπαυταί σου τὰ ἐνύπνια·
in the name of-Jesus Christ have-ceased your the dreams
κοινώνησον οὖν μετὰ παρρησίας· ἵνα γὰρ μὴ καυχήσῃ
communicate then with boldness that for not you-may-boast
ὡς περιγενόμενος πάθους, τούτου χάριν κατεδυναστεύθης
as having-overcome (a)-passion of-this for-the-sake you-were-overpowered
πρὸς τὸ συμφέρον. καὶ ἀπῆλθε πάλιν ἐπὶ τὴν κέλλαν
for the advantage and he-went-away again to the cell
αὐτοῦ. μετὰ ταῦτα ἐρωτηθεὶς παρὰ Ἰσιδώρου ὡς μετὰ
his after these(-things) having-been-asked by Isidore about after
μῆνας δύο, ἔλεγε μηκέτι μηδὲν πεπονθέναι. κατηξιώθη δὲ
months two he-said no-longer anything to-have-suffered was-deemed-worthy and

οὗτος χαρίσματος κατὰ δαιμόνων οὕτως ὡς τὰς μυίας
this(-man) of-(a)-gift against demons so as the flies
ταύτας ἡμᾶς φοβεῖσθαι μᾶλλον ἢ ἐκεῖνον τοὺς δαίμονας.
these us to-fear rather than him the demons
αὕτη ἡ πολιτεία Μωσέως τοῦ Αἰθίοπος, ὃς καὶ αὐτὸς ἦν
this the way-of-life of-Moses the Ethiopian who also himself was
ἐν τοῖς μεγάλοις τῶν πατέρων συναριθμούμενος. τελευτᾷ
among the great of-the fathers numbered-together dies
οὖν ἐτῶν ἑβδομήκοντα πέντε ἐν τῇ Σκήτει γενόμενος
then of-years seventy five in — Scetis having-become
πρεσβύτερος, καταλιπὼν καὶ μαθητὰς ἑβδομήκοντα.
presbyter having-left also disciples seventy
20 Ὄρος ἐστὶν ἐν τῇ Αἰγύπτῳ ἀπάγον ἐπὶ τὴν Σκῆτιν
(a)-mountain is in — Egypt leading-off to — Scetis
τὴν πανέρημον ὃ καλεῖται Φέρμη. ἐν τούτῳ τῷ ὄρει
the utter-desert which is-called Pherme in this the mountain
καθέζονται ὡς πεντακόσιοι ἄνδρες ἀσκούμενοι· ἐν οἷς
sit about five-hundred men practicing-discipline among whom
καὶ Παῦλός τις, οὕτω καλούμενος, ταύτην ἔσχε τὴν
also Paul a-certain so called this had the
πολιτείαν· οὐκ ἔργου ἥψατο, οὐ πράγματος, οὐκ ἔλαβε παρά
way-of-life not work he-touched not business not he-took from
τινος παρεκτὸς οὗ ἤσθιεν. ἔργον δὲ αὐτῷ καὶ ἄσκησις
anyone except what he-ate work and for-him and discipline
γέγονε τὸ ἀδιαλείπτως προσεύχεσθαι. τετυπωμένας οὖν εἶχεν
was the unceasingly to-pray set then he-had
εὐχὰς τριακοσίας, τοσαῦτα οὖν ψηφία συνάγων καὶ ἐν τῷ
prayers three-hundred as-many then pebbles gathering and in the
κόλπῳ κατέχων, καὶ ῥίπτων καθ᾽ ἑκάστην εὐχὴν ἔξω τοῦ
bosom holding and throwing for each prayer outside the
κόλπου μίαν ψῆφον. οὗτος παραβαλὼν συντυχίας ἕνεκεν
bosom one pebble this(-man) having-visited of-meeting for-the-sake

τῷ ἁγίῳ Μακαρίῳ τῷ λεγομένῳ πολιτικῷ, λέγει αὐτῷ·
to-the holy Macarius the(-one) called citizen says to-him
Ἀββᾶ θλίβομαι. ἠνάγκασεν οὖν αὐτὸν εἰπεῖν διὰ ποίαν
abba I-am-afflicted he-compelled then him to-say for what
αἰτίαν. ὁ δὲ λέγει αὐτῷ· Ἐν κώμῃ τινὶ παρθένος κατοικεῖ
cause he and says to-him in village a-certain virgin dwells
τις τριακοστὸν ἔτος ἔχουσα ἀσκουμένη· περὶ ἧς μοι
a-certain thirtieth year having practicing-discipline about whom to-me
διηγήσαντο ὅτι παρεκτὸς σαββάτου ἢ κυριακῆς οὐδέποτε
they-related that except Saturday or Lord's-day never
γεύεται· ἀλλὰ τὸν χρόνον ὅλον ἕλκουσα τὰς ἑβδομάδας
she-tastes but the time whole drawing-out the weeks
διὰ πέντε ἐσθίουσα ἡμερῶν ποιεῖ εὐχὰς ἑπτακοσίας.
every five eating days she-makes prayers seven-hundred
καὶ ἀπευδόκησα ἐμαυτοῦ ὅτι ὑπὲρ τὰς τριακοσίας οὐκ
and I-was-displeased-with myself that beyond the three-hundred not
ἠδυνήθην ποιῆσαι. ἀποκρίνεται αὐτῷ ὁ ἅγιος Μακάριος·
I-was-able to-make answers him the holy Macarius
Ἐγὼ ἑξηκοστὸν ἔτος ἔχω τεταγμένας ἑκατὸν εὐχὰς ποιῶν
I sixtieth year have appointed hundred prayers making
καὶ τὰ πρὸς τροφὴν ἐργαζόμενος καὶ τοῖς ἀδελφοῖς
and the(-things) for food working and to-the brothers
τὴν ὀφειλὴν τῆς συντυχίας ἀποδιδούς, καὶ οὐ κρίνει με ὁ
the debt of-the meeting paying and not judges me the
λογισμὸς ὡς ἀμελήσαντα. εἰ δὲ σὺ τριακοσίας ποιῶν ὑπὸ
thought as having-neglected if but you three-hundred making by
τοῦ συνειδότος κρίνῃ, δῆλος εἶ καθαρῶς αὐτὰς μὴ
the conscience you-are-judged evident you-are purely them not
εὐχόμενος, ἢ δυνάμενος πλείονας εὔχεσθαι καὶ μὴ εὐχόμενος.
praying or being-able more to-pray and not praying

21 Κρόνιός μοι διηγήσατο ὁ πρεσβύτερος τῆς Νιτρίας ὅτι
Cronius to-me related the presbyter — of-Nitria that
Νεώτερος ὢν καὶ ἀκηδίας χάριν φυγὼν ἐκ τῆς μονῆς
younger being and of-listlessness for-the-sake having-fled from the monastery
τοῦ ἀρχιμανδρίτου μου, ἀλώμενος ἔφθασα ἕως τοῦ
of-the archimandrite my wandering I-reached as-far-as the
ὄρους τοῦ ἁγίου Ἀντωνίου. ἐκάθητο δὲ μεταξὺ Βαβυλῶνος
mountain of-the holy Antony he-sat and between Babylon
καὶ Ἡρακλέους εἰς τὴν πανέρημον τὴν φέρουσαν κατὰ
and Heracleopolis in the utter-desert the(-one) leading toward
θάλασσαν τὴν ἐρυθρὰν ὡς ἀπὸ τριάκοντα σημείων τοῦ
(the)-sea the red about from thirty miles of-the
ποταμοῦ. ἐλθὼν οὖν αὐτοῦ εἰς τὸ μοναστήριον τὸ
river having-come then his into the monastery the(-one)
παρὰ τὸν ποταμόν, ἔνθα οἱ τούτου μαθηταὶ ἐκαθέζοντο
by the river where the his disciples sat
εἰς τὸ λεγόμενον Πίσπιρ Μακάριος καὶ Ἀμάτας οἳ καὶ
in the called Pispir Macarius and Amatas who also
ἔθαψαν αὐτὸν κοιμηθέντα, ἐξεδεξάμην ἡμέρας πέντε ἵνα
buried him having-fallen-asleep I-waited days five that
συντύχω τῷ ἁγίῳ Ἀντωνίῳ. ἐλέγετο γὰρ παραβάλλειν
I-might-meet the holy Antony he-was-said for to-visit
τῷ μοναστηρίῳ τούτῳ, ποτὲ μὲν διὰ δέκα, ποτὲ
the monastery this sometimes indeed after ten sometimes
δὲ διὰ εἴκοσι, ποτὲ δὲ διὰ πέντε ἡμερῶν, καθὼς ἂν
and after twenty sometimes and after five days as —
αὐτὸν ὁ θεὸς ἦγεν ἐπ᾽ εὐεργεσίᾳ τῶν παρατυγχανόντων
him — God led for (the)-benefit of-those chancing-to-be
ἐν τῷ μοναστηρίῳ. διάφοροι οὖν συνήχθησαν ἀδελφοί,
in the monastery various then gathered brothers
διαφόρους ἔχοντες χρείας· ἐν οἷς καὶ Εὐλόγιός
various having needs among whom also Eulogius

τις Ἀλεξανδρεὺς μονάζων καὶ ἄλλος λελωβημένος,
a-certain Alexandrian solitary and another maimed
οἳ παρεγένοντο δι᾽ αἰτίαν τοιάνδε· Οὗτος ὁ Εὐλόγιος
who arrived for cause such-as-this this — Eulogius
σχολαστικὸς ὑπῆρχεν ἐκ τῶν ἐγκυκλίων παιδευμάτων,
scholar was from the general studies
ὃς ἔρωτι πληγεὶς ἀθανασίας ἀπετάξατο τοῖς θορύβοις,
who with-love struck of-immortality renounced the tumults
καὶ πάντα διασκορπίσας τὰ ὑπάρχοντα κατέλιπεν ἑαυτῷ
and all having-scattered the possessions he-left for-himself
βραχέα νομίσματα, ἐργάσασθαι μὴ δυνάμενος. ἀκηδιῶν οὖν
few coins to-work not being-able being-listless then
καθ᾽ ἑαυτὸν καὶ μήτε εἰς συνοδίαν βουλόμενος εἰσελθεῖν
by himself and neither into (a)-community wishing to-enter
μήτε μόνος πληροφορούμενος, εὗρέ τινα κατὰ τὴν
nor alone being-fully-assured he-found someone in the
ἀγορὰν ἐρριμμένον λελωβημένον ὃς οὔτε χεῖρας εἶχεν οὔτε
marketplace cast-out maimed who neither hands had nor
πόδας. τούτῳ μόνη ἡ γλῶττα ἀκατάτριπτος ὑπῆρχε πρὸς
feet to-him only the tongue unworn was for
συμφορὰν τῶν ἐντυγχανόντων. ὁ οὖν Εὐλόγιος στὰς
(the)-misfortune of-those meeting(-him) — then Eulogius having-stood
ἐνατενίζει αὐτῷ καὶ προσεύχεται τῷ θεῷ, καὶ διατίθεται
gazes-at him and prays — to-God and makes
διαθήκην μετὰ τοῦ θεοῦ ὅτι Κύριε, ἐπὶ τῷ ὀνόματί σου
(a)-covenant with — God that Lord upon the name your
λαμβάνω τοῦτον τὸν λελωβημένον καὶ διαναπαύω αὐτὸν
I-take this the maimed(-man) and give-rest-to him
μέχρι θανάτου, ἵνα διὰ τούτου κἀγὼ σωθῶ. χάρισαί
until death that through this(-man) I-too may-be-saved grant
μοι ὑπομονὴν τῆς τούτου ὑπηρεσίας. καὶ προσελθὼν τῷ
to-me endurance of-the of-this(-man) service and having-approached the

λελωβημένῳ λέγει αὐτῷ· Θέλεις, ὁ μέγας, λαμβάνω σε
maimed(-man) he-says to-him do-you-wish the great(-one) I-take you
εἰς τὴν οἰκίαν καὶ διαναπαύω σε; λέγει αὐτῷ· Καὶ πάνυ.
into the house and give-rest-to you he-says to-him and very-much
Οὐκοῦν, φησί, φέρω ὄνον καὶ λαμβάνω σε; συνέθετο.
well-then he-says I-bring (an)-ass and take you he-agreed
ἐνέγκας οὖν ὄνον ἦρεν αὐτόν, καὶ ἀπήνεγκεν εἰς τὸ ἴδιον
having-brought then (an)-ass he-lifted him and carried(-him) into the own
ξένιον, καὶ ἦν αὐτοῦ ἐπιμελούμενος. διακαρτερήσας οὖν ὁ
lodging and was him caring-for having-held-out then the
λελωβημένος ἐπὶ ἔτη δεκαπέντε ἐνοσοκομεῖτο παρ᾽ αὐτοῦ,
maimed(-man) for years fifteen was-nursed by him
λουόμενος καὶ θεραπευόμενος ταῖς χερσὶ τοῦ Εὐλογίου καὶ
being-washed and being-tended by-the hands — of-Eulogius and
ἀξίως τρεφόμενος τῆς νόσου. μετὰ δὲ τὰ δεκαπέντε ἔτη
worthily being-fed of-the disease after but the fifteen years
δαίμων ἐνέσκηψεν εἰς αὐτὸν καὶ ἀποστασιάζει πρὸς τὸν
(a)-demon fell into him and he-revolts against —
Εὐλόγιον· καὶ ἤρξατο τοσαύταις δυσφημίαις καὶ λοιδορίαις
Eulogius and began with-such slanders and abuses
πλύνειν τὸν ἄνδρα, ἐπιλέγων· Σχάστα, φυγοκύρι,
to-wash the man adding (you)-wretch runaway-from-(your)-master
ἀλλότρια χρήματα ἔκλεψας, καὶ δι᾽ ἐμοῦ θέλεις σωθῆναι.
other-people's money you-stole and through me you-wish to-be-saved
ῥῖψόν με εἰς τὴν ἀγοράν· κρέα θέλω. ἤνεγκεν αὐτῷ κρέα.
throw me into the marketplace meat I-want he-brought to-him meat
πάλιν οὖν ἀνέκραξεν· Οὐ πληροφοροῦμαι· ὄχλους θέλω· εἰς
again then he-cried-out not I-am-satisfied crowds I-want into
τὴν ἀγορὰν θέλω. ὦ βία· ῥῖψόν με ὅπου με εὗρες. ὡς εἰ
the marketplace I-want O violence throw me where me you-found as if
εἶχε χεῖρας τάχα ἂν καὶ ἀπήγξατο, τοῦ δαίμονος
he-had hands perhaps — even would-have-strangled-himself the demon

αὐτὸν οὕτως ἀγριώσαντος. ἀπέρχεται τοίνυν πρὸς τοὺς ἐκ
him so having-made-savage goes-away therefore to those from
γειτόνων ἀσκητὰς ὁ Εὐλόγιος καὶ λέγει αὐτοῖς· Τί ποιήσω,
neighbors ascetics — Eulogius and says to-them what shall-I-do
ὅτι εἰς ἀπελπισμόν με ἤγαγεν ὁ λελωβημένος οὗτος;
that into despair me has-brought the maimed(-man) this
ῥίψω αὐτόν; θεῷ δεξιὰς ἔδωκα καὶ φοβοῦμαι.
shall-I-throw-out him to-God right(-hands) I-gave and I-fear
ἀλλὰ μὴ ῥίψω αὐτόν; κακάς μοι ἡμέρας καὶ νύκτας
but not shall-I-throw-out him bad to-me days and nights
δίδωσι. τί οὖν αὐτῷ ποιήσω οὐκ οἶδα. οἱ δὲ λέγουσιν
he-gives what then to-him I-shall-do not I-know they but say
αὐτῷ· Ὡς ἔτι ζῇ ὁ μέγας, οὕτω γὰρ ἐκάλουν τὸν
to-him as still lives the great(-one) thus for they-called —
Ἀντώνιον, ἄνελθε πρὸς αὐτὸν βαλὼν τὸν λελωβημένον εἰς
Antony go-up to him having-put the maimed(-man) into
πλοῖον, καὶ ἀνένεγκε αὐτὸν εἰς τὸ μοναστήριον καὶ ἔκδεξαι
(a)-boat and bring-up him to the monastery and wait
ἕως ἐξέλθῃ ἐκ τῆς ἐρήμου, καὶ ἀνένεγκε αὐτῷ τὸ κρῖμα·
until he-come-out from the desert and refer to-him the case
καὶ ὃ ἐάν σοι εἴπῃ, στοίχησον αὐτοῦ τῇ ἐπικρίσει, ὁ
and what — to-you he-say follow his the judgment —
θεὸς γάρ σοι λαλεῖ δι᾽ αὐτοῦ. καὶ ἠνέσχετο αὐτῶν, καὶ
God for to-you speaks through him and he-heeded them and
βαλὼν τὸν λελωβημένον εἰς σκαφίδιον βουκολικόν, ἐξῆλθεν
having-put the maimed(-man) into (a)-small-boat cattle-herders' he-went-out
ἐν νυκτὶ τῆς πόλεως, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ
in (the)-night from-the city and brought-up him to the
μοναστήριον τῶν μαθητῶν τοῦ ἁγίου Ἀντωνίου. συνέβη δὲ
monastery of-the disciples of-the holy Antony it-happened and
τὴν ἄλλην ἡμέραν ἐλθεῖν τὸν μέγαν ἑσπέραν βαθεῖαν, ὡς
the next day to-come the great(-one) (at)-evening late as

διηγήσατο ὁ Κρόνιος, ἐμπεφιβλωμένος χλανίδα δερματίνην.
related — Cronius wrapped (a)-cloak of-leather
ἐρχόμενος οὖν εἰς τὸ μοναστήριον αὐτῶν ταύτην εἶχε τὴν
coming then into the monastery their this he-had the
συνήθειαν καλεῖν τὸν Μακάριον καὶ ἐρωτᾶν αὐτόν· Ἀδελφὲ
custom to-call — Macarius and to-ask him brother
Μακάριε, ἦλθόν τινες ἀδελφοὶ ὧδε; ἀπεκρίνατο· Ναί.
Macarius have-come some brothers here he-answered yes
Αἰγύπτιοί εἰσιν ἢ Ἱεροσολυμῖται; σημεῖον δὲ αὐτῷ δεδώκει
Egyptians are-they or Jerusalemites (a)-sign and to-him he-had-given
ὡς Ἐὰν ἀπραγοτέρους ἴδῃς, λέγε ὅτι Αἰγύπτιοί εἰσιν· ὅταν
that if more-simple you-see say that Egyptians they-are when
δὲ εὐλαβεστέρους καὶ λογιωτέρους, λέγε Ἱεροσολυμῖται.
but more-pious and more-learned say Jerusalemites
ἠρώτησεν οὖν αὐτῷ κατὰ τὸ εἰωθός· Αἰγύπτιοί εἰσιν οἱ
he-asked then him according-to the custom Egyptians are the
ἀδελφοί, ἢ Ἱεροσολυμῖται; ἀπεκρίνατο ὁ Μακάριος καὶ
brothers or Jerusalemites answered — Macarius and
λέγει αὐτῷ· Μίγμα εἰσίν. ὅτε μὲν ἔλεγεν αὐτῷ· Αἰγύπτιοί
says to-him (a)-mixture they-are when indeed he-said to-him Egyptians
εἰσιν, ἔλεγε πρὸς αὐτὸν ὁ ἅγιος Ἀντώνιος· Ποίησον
they-are said to him the holy Antony make
φακὸν καὶ δὸς αὐτοῖς φαγεῖν· καὶ ἐποίει αὐτοῖς εὐχὴν
lentils and give them to-eat and he-made for-them prayer
μίαν, καὶ ἀπέλυεν αὐτούς. ὅτε δὲ ἔλεγεν ὅτι Ἱεροσολυμῖταί
one and dismissed them when but he-said that Jerusalemites
εἰσιν, ἐκάθητο διὰ πάσης νυκτός, λαλῶν αὐτοῖς τὰ
they-are he-sat through all (the)-night speaking to-them the(-things)
πρὸς σωτηρίαν. ἐν ἐκείνῃ οὖν τῇ ἑσπέρᾳ καθεσθείς, φησί,
for salvation in that then the evening having-sat-down he-says
προσκαλεῖται πάντας, καὶ μηδενὸς μηδὲν αὐτῷ εἰρηκότος
he-calls all and no-one anything to-him having-said

ὁποῖον ὄνομα ἔχει, σκοτίας οὔσης φωνεῖ καὶ λέγει· Εὐλόγιε,
what-sort name he-has darkness being he-calls and says Eulogius
Εὐλόγιε, Εὐλόγιε, ἐκ τρίτου. ἐκεῖνος οὐκ ἀπεκρίνατο
Eulogius Eulogius for (the)-third(-time) he not answered
ὁ σχολαστικός, οἰόμενος ἄλλον Εὐλόγιον καλεῖσθαι. λέγει
the scholar thinking another Eulogius to-be-called says
αὐτῷ ἔπειτα πάλιν· Σοὶ λέγω, Εὐλόγιε, τῷ ἀπὸ
to-him then again to-you I-say Eulogius the(-one) from
Ἀλεξανδρείας ἐλθόντι. λέγει αὐτῷ ὁ Εὐλόγιος· Τί κελεύεις,
Alexandria having-come says to-him — Eulogius what do-you-order
δέομαί σου; Τί ἧκες; ἀποκρίνεται ὁ Εὐλόγιος καὶ
I-beg you why have-you-come answers — Eulogius and
λέγει αὐτῷ· Ὁ ἀποκαλύψας σοι τὸ ὄνομά μου, καὶ
says to-him the(-one) having-revealed to-you the name my also
τὸ πρᾶγμά σοι ἀπεκάλυψε. λέγει αὐτῷ ὁ Ἀντώνιος·
the matter to-you revealed says to-him — Antony
Οἶδα διὸ ἦλθες· ἀλλ' ἐπὶ πάντων τῶν ἀδελφῶν εἰπέ, ἵνα
I-know why you-came but before all the brothers speak that
καὶ αὐτοὶ ἀκούσωσι. λέγει αὐτῷ ὁ Εὐλόγιος· Τοῦτον τὸν
also themselves may-hear says to-him — Eulogius this the
λελωβημένον εὗρον ἐν τῇ ἀγορᾷ· καὶ δεξιὰς ἔδωκα τῷ
maimed(-man) I-found in the marketplace and right(-hands) I-gave —
θεῷ ἵνα αὐτὸν νοσοκομήσω, κἀγὼ σωθῶ δι' αὐτοῦ, καὶ
to-God that him I-would-nurse and-I be-saved through him and
αὐτὸς δι' ἐμοῦ. ἐπεὶ οὖν μετὰ τοσαῦτα ἔτη εἰς ἄκρον
he through me since then after so-many years to (the)-height
με χειμάζει καὶ ἐνεθυμήθην αὐτὸν ῥῖψαι, τούτου χάριν
me he-storms and I-thought-of him to-throw-out of-this for-the-sake
ἦλθον πρὸς τὴν σὴν ἁγιωσύνην, ἵνα μοι συμβουλεύσῃς
I-came to the your holiness that to-me you-may-advise
τί ὀφείλω ποιῆσαι, καὶ προσεύξῃ περὶ ἐμοῦ· δεινῶς γὰρ
what I-ought to-do and you-may-pray for me terribly for

χειμάζομαι. λέγει αὐτῷ ὁ Ἀντώνιος ἐμβριθεῖ καὶ αὐστηρᾷ
I-am-storm-tossed says to-him — Antony with-weighty and stern
τῇ φωνῇ· Ῥίπτεις αὐτόν; ἀλλ' ὁ ποιήσας αὐτὸν
the voice you-throw-out him but the(-one) having-made him
οὐ ῥίπτει αὐτόν. ῥίπτεις αὐτὸν σύ; ἐγείρει ὁ θεὸς τὸν
not throws-out him you-throw-out him you raises — God the
καλλίονά σου καὶ συνάγει αὐτόν. ἐφησυχάσας οὖν ὁ
better than-you and gathers him having-fallen-quiet then —
Εὐλόγιος κατέπτηξε. καὶ καταλείψας πάλιν τὸν Εὐλόγιον
Eulogius cowered and having-left again — Eulogius
ἄρχεται τῇ γλώττῃ μαστίζειν τὸν λελωβημένον καὶ
he-begins with-the tongue to-scourge the maimed(-man) and
ἀποβοᾶν· Λελωβημένε πεπηρωμένε, ἀνάξιε τῆς γῆς καὶ
to-cry-out maimed(-man) crippled unworthy of-the earth and
τοῦ οὐρανοῦ, οὐ παύῃ θεομαχῶν; οὐκ οἶδας ὅτι ὁ
of-the heaven not do-you-cease fighting-God not do-you-know that —
Χριστός ἐστιν ὁ ὑπηρετῶν σοι; πῶς τολμᾷς κατὰ
Christ is the(-one) serving you how do-you-dare against
τοῦ Χριστοῦ τοιαῦτα φθέγγεσθαι; οὐ διὰ τὸν Χριστὸν
— Christ such(-things) to-utter not because-of — Christ
ἑαυτὸν ἐδούλωσεν εἰς τὴν σὴν ὑπηρεσίαν; στύψας οὖν καὶ
himself he-enslaved to the your service having-checked then also
τοῦτον ἀφῆκε. καὶ διαλεχθεὶς τοῖς λοιποῖς πᾶσι τὰ
this(-one) he-dismissed and having-conversed with-the rest all the(-things)
πρὸς τὴν χρείαν ἀπολαμβάνεται τὸν Εὐλόγιον καὶ τὸν
for the need he-takes-aside — Eulogius and the
λελωβημένον καὶ λέγει αὐτοῖς· Μὴ περιστραφῆτε μηδαμοῦ,
maimed(-man) and says to-them not turn-about anywhere
ἀπέλθετε· μὴ χωρισθῆτε ἀπ' ἀλλήλων, ἀλλ' ἢ εἰς τὴν
go-away not be-separated from one-another but except to the
κέλλαν ὑμῶν εἰς ἣν ἐχρονίσατε. ἤδη γὰρ ἀποστέλλει
cell your in which you-spent-time already for sends

ὁ θεὸς ἐφ' ὑμᾶς. ὁ πειρασμὸς γὰρ οὗτος συνέβη ὑμῖν
— God upon you the temptation for this happened to-you
ἐπειδὴ ἀμφότεροι περὶ τὸ τέλος ἔχετε καὶ στεφάνων
since both near the end you-are and of-crowns
μέλλετε ἀξιοῦσθαι. μὴ οὖν ἄλλο τι ποιήσητε, καὶ
you-are-about to-be-deemed-worthy not then other anything do and
ἐλθὼν ὁ ἄγγελος μὴ εὕρῃ ὑμᾶς ἐν τῷ τόπῳ. θᾶττον
having-come the angel not find you in the place quickly
οὖν ὁδεύσαντες ἦλθον εἰς τὴν κέλλαν ἑαυτῶν. καὶ ἐντὸς
then having-traveled they-came into the cell their-own and within
τεσσαράκοντα ἡμερῶν τελευτᾷ ὁ Εὐλόγιος· ἐντὸς δὲ
forty days dies — Eulogius within and
ἄλλων τριῶν ἡμερῶν τελευτᾷ ὁ λελωβημένος.
other three days dies the maimed(-man)
Χρονοτριβήσας δὲ ὁ Κρόνιος ἐν τοῖς περὶ τὴν Θηβαΐδα
having-spent-time and — Cronius in the around — (the)-Thebaid
τόποις κατῆλθεν εἰς τὰ μοναστήρια Ἀλεξανδρείας. καὶ
places came-down to the monasteries of-Alexandria and
συνέβη τοῦ μὲν τὰ τεσσαρακοστὰ ἐπιτελεῖσθαι, τοῦ
it-happened of-the(-one) indeed the fortieth(-day-rites) to-be-performed of-the(-other)
δὲ τὰ τρίτα παρὰ τῆς ἀδελφότητος. ἔμαθεν οὖν ὁ
and the third(-day-rites) by the brotherhood learned then —
Κρόνιος καὶ ἐξέστη· καὶ λαβὼν εὐαγγέλιον καὶ θεὶς
Cronius and was-amazed and having-taken (a)-gospel and having-put(-it)
ἐν μέσῳ τῆς ἀδελφότητος διωμόσατο ἀφηγούμενος
in (the)-middle of-the brotherhood swore relating
τὸ συμβὰν ὅτι Τῶν λόγων τούτων ὅλων ἑρμηνεὺς
the(-thing) having-befallen that of-the words these all interpreter
γέγονα τοῦ μακαρίου Ἀντωνίου, ἑλληνιστὶ μὴ εἰδότος· ἐγὼ
I-have-been of-the blessed Antony in-Greek not knowing I

γὰρ ἠπιστάμην ἀμφοτέρας τὰς γλώσσας, καὶ ἡρμήνευσα
for knew both the tongues and I-interpreted
αὐτοῖς, τοῖς μὲν ἑλληνιστί, ἐκείνῳ δὲ αἰγυπτιστί.
for-them to-them indeed in-Greek to-him but in-Egyptian
Καὶ τοῦτο δὲ διηγήσατο ὁ Κρόνιος, ὅτι Ἐν τῇ νυκτὶ
and this too related — Cronius that in the night
ἐκείνῃ διηγήσατο ἡμῖν ὁ μακάριος Ἀντώνιος ὅτι Ἐνιαυτὸν
that related to-us the blessed Antony that (a)-year
ὁλόκληρον ηὐξάμην ἀποκαλυφθῆναί μοι τὸν τόπον τῶν
whole I-prayed to-be-revealed to-me the place of-the
δικαίων καὶ τῶν ἁμαρτωλῶν. καὶ ἐθεασάμην μακρόν τινα
righteous and of-the sinners and I-beheld tall a-certain
γίγαντα μέχρι τῶν νεφελῶν, μέλανα, τὰς χεῖρας ἐκτεταμένας
giant up-to the clouds black the hands stretched-out
ἔχοντα ἐπὶ τὸν οὐρανόν, καὶ ὑποκάτω αὐτοῦ λίμνην
having toward the heaven and beneath him (a)-lake
ἔχουσαν μέτρον θαλάσσης· καὶ ἑώρων ψυχὰς ἀνιπταμένας
having (the)-measure of-(a)-sea and I-saw souls flying-up
ὡς ὄρνεα. καὶ ὅσαι μὲν ὑπερίπταντο αὐτοῦ τῶν χειρῶν
like birds and as-many-as indeed flew-over his the hands
καὶ τῆς κεφαλῆς διεσώζοντο· ὅσαι δὲ παρὰ τῶν χειρῶν
and the head were-saved as-many-as but by the hands
αὐτοῦ ἐκοσσίζοντο ἐνέπιπτον εἰς τὴν λίμνην. ἦλθεν οὖν μοι
his were-struck fell into the lake came then to-me
φωνὴ λέγουσα· Ταύτας ἃς βλέπεις ὑπεριπταμένας ψυχὰς
(a)-voice saying these which you-see flying-over souls
τῶν δικαίων αἱ ψυχαί εἰσιν αἳ εἰς τὸν παράδεισον σώζονται·
of-the righteous the souls are which into the paradise are-saved
αἱ δὲ ἄλλαι εἰσὶν αἱ εἰς τὸν ᾅδην ὑποσυρόμεναι, τοῖς
the and others are the(-ones) into the Hades being-dragged-down by-the
θελήμασι τῆς σαρκὸς καὶ τῇ μνησικακίᾳ ἐξακολουθήσασαι.
wills of-the flesh and the malice having-followed

Paul, a simple farmer, finds his wife with a lover, leaves her, and comes to Antony, who tests his obedience until he can drive out demons that Antony himself cannot. Pachon, whom Palladius consults when tempted, tells how desire drove him to hyenas and an asp until he trusted God. Stephen of Libya, a man of consolation, plaits palm leaves while a physician cuts away his gangrened members. Valens, puffed up by visions, takes a demon for Christ and despises communion until he is chained for a year. Heron of Alexandria, an ascetic of prodigious feats, insults Evagrius, falls into the theaters and taverns, and is cured only by sickness.

Διηγεῖτο δὲ καὶ τοῦτο ὁ Κρόνιος καὶ ὁ ἅγιος Ἱέραξ καὶ 22
related and also this — Cronius and the holy Hierax and
πλείονες ἄλλοι περὶ ὧν μέλλω λέγειν, ὅτι Παῦλός τις
more others about whom I-am-about to-speak that Paul a-certain
ἄγροικος γεωργός, καθ' ὑπερβολὴν ἄκακος καὶ ἁπλοῦς,
rustic farmer to excess guileless and simple
ὡραιοτάτῃ ἐξεύχθη γυναικὶ κακοτρόπῳ τῇ γνώμῃ,
to-(a)-most-beautiful was-yoked wife evil-mannered in-the mind
ἥτις διελάνθανεν ἁμαρτάνουσα ἐπὶ μήκιστον χρόνον.
who escaped-notice sinning for (a)-very-long time
εἰσελθὼν οὖν ἐξ ἀγροῦ αἰφνίδιον ὁ Παῦλος εὗρεν
having-come-in then from (the)-field suddenly — Paul found
αὐτοὺς αἰσχροπραγοῦντας, τῆς προνοίας εἰς τὸ συμφέρον
them doing-shameful(-things) the providence to the advantage
ὁδηγούσης τὸν Παῦλον. καὶ γελάσας σεμνὸν ἐπιφωνεῖ
guiding — Paul and having-laughed gravely he-calls-out
αὐτοῖς καὶ λέγει· Καλῶς, καλῶς· ἀληθῶς οὐ μέλει μοι.
to-them and says well well truly not it-concerns me
μὰ τὸν Ἰησοῦν ἐγὼ αὐτὴν οὐκέτι αἴρω. ὕπαγε, ἔχε αὐτὴν
by — Jesus I her no-longer take go have her
καὶ τὰ παιδία αὐτῆς· ἐγὼ γὰρ ὑπάγω γίνομαι μοναχός.
and the children her I for go I-become (a)-monk

καὶ μηδενὶ μηδὲν εἰρηκὼς ἀνατρέχει τὰς ὀκτὼ μονὰς
and to-no-one anything having-said he-runs-up-through the eight stations
καὶ ἀπέρχεται πρὸς τὸν μακάριον Ἀντώνιον καὶ κρούει
and goes-away to the blessed Antony and knocks-on
τὴν θύραν. ἐξελθὼν οὖν ἐρωτᾷ αὐτόν· Τί θέλεις; λέγει
the door having-come-out then he-asks him what do-you-want he-says
αὐτῷ· Μοναχὸς θέλω γενέσθαι. ἀποκρίνεται ὁ Ἀντώνιος
to-him (a)-monk I-want to-become answers — Antony
καὶ λέγει αὐτῷ· Ἐτῶν ἑξήκοντα γέρων ἄνθρωπος ὧδε
and says to-him of-years sixty old man here
μοναχὸς οὐ δύνασαι γενέσθαι· ἀλλὰ μᾶλλον ἄπελθε εἰς
(a)-monk not you-can become but rather go-away to
κώμην καὶ ἐργάζου, καὶ ζῆθι ἐργατικὸν βίον εὐχαριστῶν
(a)-village and work and live (a)-working life giving-thanks
τῷ θεῷ· ὑπομεῖναι γὰρ τὰς θλίψεις τῆς ἐρήμου οὐ δύνασαι.
— to-God to-endure for the afflictions of-the desert not you-can
ἀποκρίνεται ὁ γέρων πάλιν καὶ λέγει αὐτῷ· Εἴ τι ἄν
answers the old-man again and says to-him if anything —
με διδάξῃς ἐκεῖνο ποιῶ. λέγει αὐτῷ ὁ Ἀντώνιος· Εἴρηκά
me you-teach that I-do says to-him — Antony I-have-told
σοι ὅτι γέρων εἶ καὶ οὐ δύνασαι· ἄπελθε εἰ ἄρα θέλεις
you that old you-are and not you-can go-away if after-all you-wish
μοναχὸς γενέσθαι εἰς κοινόβιον πλειόνων ἀδελφῶν, οἵτινες
(a)-monk to-become to (a)-community of-many brothers who
δύνανταί σου τῆς ἀσθενείας ἀνέχεσθαι. ἐγὼ γὰρ μόνος
can your the weakness bear-with I for alone
κάθημαι ὧδε διὰ πέντε ἐσθίων καὶ τοῦτο λιμῷ. τούτοις
sit here every five(-days) eating and this from-hunger with-these
καὶ τοῖς τοιούτοις ῥήμασιν ἀπεσόβει τὸν Παῦλον· καὶ ὡς
and the such words he-drove-off — Paul and as
οὐκ ἠνείχετο αὐτοῦ κλείσας τὴν θύραν ὁ Ἀντώνιος
not he-was-bearing-with him having-shut the door — Antony

οὐκ ἐξῆλθεν ἐπὶ ἡμέρας τρεῖς δι᾽ αὐτόν, οὐδὲ πρὸς
not came-out for days three because-of him not-even for
τὴν χρείαν. ὁ δὲ οὐκ ἀνεχώρησε. τῇ δὲ τετάρτῃ ἡμέρᾳ
the need he but not withdrew on-the and fourth day
χρείας αὐτὸν ἀναγκαζούσης ἀνοίξας ἐξῆλθε καὶ πάλιν
need him compelling having-opened he-came-out and again
λέγει αὐτῷ· Ἄπελθε ἐντεῦθεν, γέρων· τί με ὑποπιάζεις; οὐ
says to-him go-away hence old-man why me do-you-press not
δύνασαι ὧδε μεῖναι. λέγει αὐτῷ ὁ Παῦλος· Ἀμήχανόν μοί
you-can here stay says to-him — Paul impossible for-me
ἐστιν ἀλλαχοῦ τελευτῆσαι ἀλλ᾽ ἢ ὧδε. περιβλεψάμενος
it-is elsewhere to-die but except here having-looked-around
οὖν ὁ Ἀντώνιος καὶ θεασάμενος ὅτι τὰ πρὸς τροφὴν
then — Antony and having-beheld that the(-things) for food
οὐ βαστάζει, οὐκ ἄρτον, οὐχ ὕδωρ, καὶ τετάρτην ἔχει
not he-carries not bread not water and (the)-fourth(-day) he-has
καρτερήσας νῆστις, Μήποτε καὶ ἀποθάνῃ, φησί, καὶ
having-held-out fasting lest also he-die he-says and
κηλιδώσῃ μου τὴν ψυχήν, εἰσδέχεται αὐτόν. καὶ τοιαύτην
stain my the soul he-receives him and such
ἀνέλαβεν ὁ Ἀντώνιος ἐν ταῖς ἡμέραις ἐκείναις πολιτείαν
took-up — Antony in the days those way-of-life
οἵαν οὐδέποτε ἐν νεότητι. καὶ βρέξας θαλλοὺς λέγει
such-as never in youth and having-soaked shoots he-says
αὐτῷ· Δέξαι, πλέξον σειρὰν ὡς κἀγώ. πλέκει ὁ γέρων
to-him receive(-them) plait (a)-rope as I-too plaits the old-man
ἕως ἐννάτης ὀργυίας δεκαπέντε μοχθήσας. θεασάμενος
until (the)-ninth(-hour) fathoms fifteen having-toiled having-beheld
οὖν ὁ Ἀντώνιος δυσηρεστήθη καὶ λέγει αὐτῷ· Κακῶς
then — Antony was-displeased and says to-him badly
ἔπλεξας· ἀπόπλεξον καὶ ἄνωθεν πλέξον· νήστει αὐτῷ
you-plaited unplait and anew plait fasting to-him

ὄντι καὶ ἡλικιώτῃ ταύτην ἐπαγαγὼν τὴν σῆψιν, ἵνα
being and of-(that)-age this having-brought-on the vexation that
δυσφορήσας ὁ γέρων φύγῃ τὸν Ἀντώνιον. ὁ δὲ καὶ
having-been-annoyed the old-man might-flee — Antony he but both
ἀπέπλεξε καὶ πάλιν ἔπλεξε τοὺς αὐτοὺς θαλλούς, εἰ καὶ
unplaited and again plaited the same shoots if even
δυσχερέστερον διὰ τὸ ἐρρυτιδῶσθαι. θεασάμενος δὲ ὁ
more-difficultly because-of the to-have-been-wrinkled having-beheld and —
Ἀντώνιος ὅτι οὔτε ἐγόγγυσεν οὔτε ἐμικροψύχησεν οὔτε
Antony that neither he-grumbled nor lost-heart nor
ἠγανάκτησε, κατενύγη. καὶ δύναντος τοῦ ἡλίου λέγει
was-vexed was-pricked-in-heart and setting the sun he-says
αὐτῷ· Θέλεις φάγωμεν ἄρτου κλάσμα; λέγει αὐτῷ ὁ
to-him do-you-wish let-us-eat of-bread (a)-piece says to-him —
Παῦλος· Ὡς δοκεῖ σοι, ἀββᾶ. καὶ τοῦτο πάλιν ἔκαμψε τὸν
Paul as it-seems to-you abba and this again bent —
Ἀντώνιον, τὸ μὴ προσδραμεῖν προθύμως τῇ τῆς τροφῆς
Antony the not to-run-forward eagerly at-the of-the food
ἀγγελίᾳ ἀλλ᾽ αὐτῷ ἐπιρρῖψαι τὴν ἐξουσίαν. θεὶς οὖν
announcement but to-him to-cast-upon the authority having-set then
τὴν τράπεζαν φέρει ἄρτους. καὶ θεὶς ὁ Ἀντώνιος τοὺς
the table he-brings loaves and having-set — Antony the
παξαμάδας ἔχοντας ἀνὰ ἓξ οὐγγιῶν, ἑαυτῷ μὲν ἔβρεξεν
biscuits having each six ounces for-himself indeed he-soaked
ἕνα, ξηροὶ γὰρ ἦσαν, ἐκείνῳ δὲ τρεῖς. καὶ βάλλει
one dry for they-were for-him and three and he-strikes-up
ψαλμὸν ὁ Ἀντώνιος ὃν ᾔδει, καὶ δωδέκατον αὐτὸν
(a)-psalm — Antony which he-knew and twelve-times it
ψάλας δωδέκατον ηὔξατο, ἵνα δοκιμάσῃ τὸν Παῦλον.
having-sung twelve-times he-prayed that he-might-test — Paul
ὁ δὲ πάλιν προθύμως συνηύχετο· ᾑρεῖτο γὰρ
he but again eagerly prayed-with(-him) he-would-have-chosen for

ὡς οἶμαι σκορπίους ποιμᾶναι ἢ μοιχαλίδι γυναικὶ
as I-think scorpions to-shepherd than with-(an)-adulterous woman
συζῆσαι. μετὰ δὲ τὰς δώδεκα προσευχὰς ἐκαθέσθησαν
to-live-with after and the twelve prayers they-sat
φαγεῖν ἑσπέρας βαθείας. φαγὼν οὖν ὁ Ἀντώνιος τὸν ἕνα
to-eat (at)-evening late having-eaten then — Antony the one
παξαμᾶν ἄλλου οὐχ ἥψατο. ὁ δὲ γέρων σχολαιότερον
biscuit of-another not touched the and old-man more-slowly
ἐσθίων ἔτι εἶχε τοῦ παξαμαδίου· ἐξεδέχετο ὁ Ἀντώνιος
eating still had of-the biscuit waited — Antony
ἕως οὗ τελέσῃ καὶ λέγει αὐτῷ· Φάγε, παπία, καὶ ἄλλον
until — he-finish and says to-him eat little-father also another
παξαμᾶν. λέγει αὐτῷ ὁ Παῦλος· Ἐὰν σὺ ἐσθίῃς, κἀγώ·
biscuit says to-him — Paul if you eat I-too
σοῦ δὲ μὴ ἐσθίοντος οὐκ ἐσθίω. λέγει αὐτῷ ὁ Ἀντώνιος·
you but not eating not I-eat says to-him — Antony
Ἐμοὶ ἐπαρκεῖ· μοναχὸς γάρ εἰμι. λέγει αὐτῷ ὁ Παῦλος·
to-me it-is-enough (a)-monk for I-am says to-him — Paul
Ἀρκεῖ κἀμοί· κἀγὼ γὰρ θέλω μοναχὸς γενέσθαι. ἐγείρεται
it-suffices also-for-me I-too for wish (a)-monk to-become he-rises
πάλιν καὶ ποιεῖ δεκαδύο εὐχὰς καὶ δεκαδύο ψαλμοὺς
again and makes twelve prayers and twelve psalms
ψάλλει. καθεύδει μικρὸν τοῦ πρωτουπνίου, καὶ πάλιν
sings sleeps (a)-little of-the first-sleep and again
ἐγείρεται ψάλλειν μεσονυκτίῳ ἕως ἡμέρας. ὡς οὖν εἶδε
rises to-sing at-midnight until day when then he-saw
τὸν γέροντα προθύμως ἐπακολουθήσαντα αὐτοῦ τῇ πολιτείᾳ
the old-man eagerly having-followed his the way-of-life
λέγει αὐτῷ· Ἐὰν δύνασαι καθ' ἡμέραν οὕτως, μένε μετ'
he-says to-him if you-can each day thus stay with
ἐμοῦ. λέγει αὐτῷ ὁ Παῦλος· Ἐὰν μέν τί ποτε πλέον,
me says to-him — Paul if indeed anything ever more

οὐκ οἶδα· ἐπεὶ ταῦτα ἃ εἶδον ποιῶ εὐχερῶς. λέγει
not I-know since these(-things) which I-saw I-do easily says
αὐτῷ ὁ Ἀντώνιος τῇ ἑξῆς· Ἰδοὺ γέγονας μοναχός.
to-him — Antony on-the next(-day) behold you-have-become (a)-monk
Πληροφορηθεὶς οὖν ὁ Ἀντώνιος μετὰ μῆνας ῥητοὺς ὅτι
having-been-fully-assured then — Antony after months stated that
τελείας ἐστὶ ψυχῆς, λίαν ὢν ἁπλοῦς, τῆς χάριτος αὐτῷ
of-perfect he-is soul very being simple the grace with-him
συνεργούσης, ποιεῖ αὐτῷ κέλλαν ὡς ἀπὸ σημείων τριῶν ἢ
working-together he-makes for-him (a)-cell about from miles three or
τεσσάρων, καὶ λέγει αὐτῷ· Ἰδοὺ γέγονας μοναχός· μένε
four and says to-him behold you-have-become (a)-monk stay
κατ᾽ ἰδίαν ἵνα καὶ πεῖραν δαιμόνων λάβῃς. οἰκήσας οὖν
in private that also trial of-demons you-may-take having-dwelt then
ἔτος ἓν ὁ Παῦλος χάριτος ἠξιώθη κατὰ δαιμόνων
year one — Paul of-(the)-grace was-deemed-worthy against demons
καὶ νοσημάτων. ἐν οἷς ποτὲ καθ᾽ ὑπερβολὴν δεινότατος
and diseases among which once to excess most-terrible
ἤχθη τῷ Ἀντωνίῳ δαιμονιῶν ἀρχοντικὸν ἔχων πνεῦμα,
was-brought — to-Antony (a)-demoniac (a)-ruling having spirit
ὃς καὶ αὐτὸν τὸν οὐρανὸν ἐβλασφήμει. προσχὼν οὖν ὁ
who even very the heaven blasphemed having-attended then —
Ἀντώνιος λέγει τοῖς ἀγαγοῦσιν· Οὐκ ἔστιν ἐμὸν τοῦτο
Antony says to-those having-brought(-him) not is my this
τὸ ἔργον· κατὰ γὰρ τούτου τοῦ τάγματος τοῦ ἀρχοντικοῦ
the work against for this the order the ruling
οὔπω ἠξιώθην χαρίσματος, ἀλλὰ τοῦτο Παύλου ἐστίν.
not-yet I-was-deemed-worthy of-(the)-gift but this of-Paul is
ἀπελθὼν οὖν Ἀντώνιος πρὸς τὸν Παῦλον ἀπάγει
having-gone-away then Antony to — Paul he-leads-away
αὐτοὺς καὶ λέγει αὐτῷ· Ἀββᾶ Παῦλε, ἔκβαλε τὸ δαιμόνιον
them and says to-him abba Paul cast-out the demon

τοῦτο ἀπὸ τοῦ ἀνθρώπου ἵνα ὑγιαίνων ἀπέλθῃ εἰς
this from the man that being-healthy he-may-go-away to
τὰ ἴδια. λέγει αὐτῷ ὁ Παῦλος· Σὺ γὰρ τί; λέγει αὐτῷ
the own says to-him — Paul you for what says to-him
ὁ Ἀντώνιος· Οὐ σχολάζω ἐγώ, ἄλλο ἔχω ἔργον. καὶ
— Antony not have-leisure I other I-have work and
καταλείψας αὐτὸν ὁ Ἀντώνιος πάλιν ἦλθεν εἰς τὴν ἰδίαν
having-left him — Antony again came to the own
κέλλαν. ἀναστὰς οὖν ὁ γέρων καὶ προσευξάμενος ἐνεργῆ
cell having-risen then the old-man and having-prayed (an)-effectual
προσευχὴν προσλαλεῖ τῷ δαιμονιῶντι· Εἴρηκεν ὁ ἀββᾶς
prayer he-addresses to-the demoniac has-said — abba
Ἀντώνιος ὅτι Ἔξελθε ἀπὸ τοῦ ἀνθρώπου. ὁ δὲ δαίμων
Antony that come-out from the man the but demon
μετὰ δυσφημίας ἔκραξε λέγων· Οὐκ ἐξέρχομαι, κακόγηρε.
with blasphemy cried saying not I-come-out bad-old-man
λαβὼν οὖν τὴν μηλωτὴν αὐτοῦ κατὰ νώτου ἔτυπτεν
having-taken then the sheepskin his on (the)-back he-struck
αὐτὸν λέγων· Ἔξελθε εἴρηκεν ὁ ἀββᾶς Ἀντώνιος. λοιδορεῖ
him saying come-out has-said — abba Antony he-reviles
καὶ τὸν Ἀντώνιον καὶ αὐτὸν πάλιν ὁ δαίμων σφοδρότερον.
both — Antony and him again the demon more-vehemently
τέλος λέγει αὐτῷ· Ἐκβαίνεις, ἢ ὑπάγω λέγω τῷ Χριστῷ.
at-last he-says to-him you-come-out or I-go I-tell — to-Christ
μὰ τὸν Ἰησοῦν, ἐὰν οὐκ ἐκβαίνῃς ἤδη ἄρτι ὑπάγω λέγω
by — Jesus if not you-come-out already now I-go I-tell
τῷ Χριστῷ, καὶ οὐαί σοι ἔχει ποιῆσαι. προσεδυσφήμει
— to-Christ and woe to-you he-has to-do blasphemed-further
πάλιν ὁ δαίμων κράζων· Οὐκ ἐξέρχομαι. χολέσας
again the demon crying not I-come-out having-become-angry
οὖν ὁ Παῦλος κατὰ τοῦ δαίμονος ἐξῆλθεν ἔξω τῆς ξενίας
then — Paul against the demon went-out outside the lodging

κατ᾽ αὐτὴν τὴν σταθερὰν μεσημβρίαν· τῶν δὲ Αἰγυπτίων
at very the steady noon of-the and Egyptians
τὸ καῦμα συγγενές ἐστι τῆς καμίνου τῆς Βαβυλωνίας. καὶ
the heat akin is to-the furnace the Babylonian and
στὰς κατὰ πέτρας ἐν τῷ ὄρει προσεύχεται καὶ λέγει
having-stood on (a)-rock in the mountain he-prays and says
οὕτως· Σὺ βλέπεις, Ἰησοῦ Χριστέ, ὁ σταυρωθεὶς ἐπὶ
thus you see Jesus Christ the(-one) crucified under
Ποντίου Πιλάτου, ὅτι οὐ μὴ κατέλθω ἀπὸ τῆς πέτρας,
Pontius Pilate that not — I-will-come-down from the rock
οὐ φάγω οὐ πίω ἕως οὗ ἀποθάνω, ἐὰν μὴ ἐκβάλῃς τὸ
not I-will-eat not I-will-drink until — I-die unless — you-cast-out the
πνεῦμα ἀπὸ τοῦ ἀνθρώπου καὶ ἐλευθερώσῃς τὸν ἄνθρωπον.
spirit from the man and set-free the man
πρὸ τοῦ δὲ τελεσθῆναι τοὺς λόγους τοῦ στόματος αὐτοῦ
before the and to-be-completed the words of-the mouth his
ἀνέκραξεν ὁ δαίμων λέγων· Ὦ βία, ἐλαύνομαι· ἡ ἁπλότης
cried-out the demon saying O violence I-am-driven-out the simplicity
με τοῦ Παύλου ἐλαύνει, καὶ ποῦ ἀπέλθω; καὶ παραχρῆμα
me — of-Paul drives-out and where shall-I-go-away and at-once
ἐξῆλθε τὸ πνεῦμα καὶ εἰς δράκοντα μέγαν ἑβδομήκοντα
came-out the spirit and into (a)-dragon great of-seventy
πήχεων μετεβλήθη συρόμενος ἐπὶ τὴν θάλασσαν τὴν
cubits was-changed dragging-itself to the sea the
ἐρυθράν, ἵνα πληρωθῇ τὸ ῥηθέν· Ἐπιδεικνυμένην
red that might-be-fulfilled the(-thing) spoken being-displayed
πίστιν ἀπαγγελεῖ δίκαιος. τοῦτό ἐστι τὸ θαῦμα
faith will-proclaim (the)-righteous(-man) this is the wonder
Παύλου ὃς ἐπεκλήθη ἁπλοῦς παρὰ πάσης τῆς ἀδελφότητος.
of-Paul who was-surnamed (the)-simple by all the brotherhood

Πάχων τις ὀνόματι ἀμφὶ τὸ ἑβδομηκοστὸν ἔτος 23
Pachon a-certain by-name about the seventieth year
ἐλάσας ἐκάθητο ἐν τῇ Σκήτει. συνέβη δὲ ὀχληθέντα
having-driven sat in — Scetis it-happened and having-been-troubled
με ἐπιθυμίᾳ γυναικὸς δυσφορεῖν καὶ πρὸς τοὺς λογισμοὺς
me by-desire of-woman to-be-distressed both at the thoughts
καὶ πρὸς τὰς φαντασίας τὰς νυκτερινάς· καὶ ἐγγὺς
and at the fantasies the nightly and near
γενόμενος τοῦ ἐξελθεῖν τῆς ἐρήμου, ἐλαύνοντός με τοῦ
having-come of-the to-go-out from-the desert driving me the
πάθους, τοῖς μὲν γείτοσι τοῖς ἐμοῖς οὐκ ἀνεθέμην τὸ
passion to-the indeed neighbors the my not I-communicated the
πρᾶγμα, οὔτε τῷ διδασκάλῳ μου Εὐαγρίῳ· λεληθότως δὲ
matter nor to-the teacher my Evagrius secretly and
παραβαλὼν εἰς τὴν πανέρημον, συνετύγχανον ἐπὶ ἡμέρας
having-gone into the utter-desert I-met for days
δεκαπέντε τοῖς κατὰ τὴν Σκῆτιν γηράσασι πατράσιν ἐν
fifteen the in — Scetis having-grown-old fathers in
τῇ ἐρήμῳ· ἐν οἷς περιέτυχον καὶ τῷ Πάχωνι. εὑρὼν
the desert among whom I-met also — Pachon having-found
οὖν αὐτὸν ἀκεραιότερον καὶ ἀσκητικώτερον, ἐθάρρησα
then him more-pure and more-ascetic I-took-courage
ἀναθέσθαι μου αὐτῷ τὰ τῆς διανοίας. καὶ λέγει
to-communicate my to-him the(-things) of-the mind and says
μοι οὗτος· Μὴ ξενίσῃ σε τὸ πρᾶγμα· οὐ γὰρ αὐτὸ
to-me this(-man) not let-astonish you the matter not for it
πάσχεις ἀπὸ ῥᾳθυμίας· μαρτυρεῖ γάρ σοι καὶ ὁ τόπος
you-suffer from slackness bears-witness for to-you both the place
καὶ ἡ σπάνις τῶν χρειῶν, καὶ τὸ μὴ εἶναι συντυχίας
and the scarcity of-the necessities and the not to-be meetings
θηλειῶν· ἀλλὰ μᾶλλον ἀπὸ σπουδῆς. τριπλοῦς γάρ ἐστιν
of-women but rather from zeal threefold for is

ὁ πόλεμος ὁ πορνικός. ποτὲ μὲν γὰρ ἡ σὰρξ ἡμῖν
the war the fornicating sometimes indeed for the flesh us
ἐπιτίθεται εὐρωστοῦσα· ποτὲ δὲ τὰ πάθη διὰ τῶν
attacks being-vigorous sometimes and the passions through the
λογισμῶν· ποτὲ δὲ καὶ αὐτὸς ὁ δαίμων τῇ βασκανίᾳ.
thoughts sometimes and also himself the demon by-the envy
ἐγὼ γὰρ πολλὰ παρατηρήσας εὕρηκα τοῦτο. ἰδοὺ ὡς ὁρᾷς
I for much having-observed have-found this behold as you-see
με γέροντα ἄνθρωπον· τεσσαρακοστὸν ἔτος ἔχω ἐν ταύτῃ
me old man fortieth year I-have in this
τῇ κέλλῃ φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας· καὶ ταύτην
the cell taking-thought for-the my-own salvation and this
ἄγων τὴν ἡλικίαν μέχρι τούτου πειράζομαι. †καὶ ὡς†
leading the age until this I-am-tempted and as
διώμνυτο ὅτι Ἐπὶ δώδεκα ἔτη μετὰ τὸ πεντηκοστὸν ἔτος
he-swore that for twelve years after the fiftieth year
οὐ νύκτα μοι συνεχώρησεν, οὐχ ἡμέραν, ἐπιτιθέμενος.
not (a)-night to-me he-allowed not (a)-day attacking
ὑπονοήσας οὖν ὅτι ἀπέστη μου ὁ θεός, διὸ καὶ
having-suspected then that departed from-me — God wherefore also
καταδυναστεύομαι, ᾑρετισάμην ἀποθανεῖν ἀλόγως ἢ
I-am-overpowered I-chose to-die irrationally than
πάθει σώματος ἀσχημονῆσαι αἰσχρῶς. καὶ ἐξελθὼν καὶ
by-passion of-body to-behave-indecently shamefully and having-gone-out and
περιελθὼν τὴν ἔρημον εὗρον σπήλαιον ὑαίνης· εἰς ὃ
having-gone-round the desert I-found (a)-cave of-(a)-hyena in which
σπήλαιον ἔθηκα ἐμαυτὸν ἐν ἡμέρᾳ γυμνόν, ἵνα ἐξελθόντα
cave I-put myself in (the)-day naked that having-come-out
φάγῃ με τὰ θηρία. ὡς οὖν ἐγένετο ἑσπέρα, κατὰ
might-eat me the beasts when then came evening according-to
τὸ γεγραμμένον Ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν
the(-thing) written you-made darkness and was night in

αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ, ἐξελθόντες
it will-go-through all the beasts of-the forest having-come-out
οἱ θῆρες, ὅ τε ἄρσην καὶ ἡ θήλεια, ὠσφράνθησάν μου
the beasts the both male and the female smelled me
ἀπὸ κεφαλῆς ἕως ποδῶν περιλείξαντες· καὶ ὡς προσεδόκων
from head to feet having-licked-round and as I-expected
βρωθῆναι ἀνεχώρησαν ἀπ᾽ ἐμοῦ. πεσὼν οὖν διὰ πάσης
to-be-eaten they-withdrew from me having-fallen then through all
νυκτὸς οὐκ ἐβρώθην· λογισάμενος δὲ ὅτι ἐφείσατό μου ὁ
(the)-night not I-was-eaten having-reckoned and that spared me —
θεός, αὖθις ὑποστρέφω εἰς τὴν κέλλαν. καρτερήσας οὖν
God again I-return to the cell having-held-out then
ὁ δαίμων ἡμέρας ὀλίγας πάλιν ἐπέθετό μοι σφοδρότερον
the demon days few again attacked me more-vehemently
τοῦ πρώτου, ὡς παρὰ μικρόν με καὶ βλασφημῆσαι.
than-the first so-that by little me even to-blaspheme
μετασχηματισθεὶς οὖν εἰς αἰθιόπισσαν κόρην, ἣν ἑωράκειν
having-transformed-himself then into (an)-Ethiopian girl whom I-had-seen
ποτὲ ἐν νεότητί μου εἰς τὸ θέρος καλαμωμένην, ἐπικάθηταί
once in youth my in the summer gleaning she-sits-on
μου τοῖς γόνασι, καὶ ἐπὶ τοσοῦτόν με κεκίνηκεν ὡς νομίσαι
my the knees and to such me she-moved that to-think
με συγγενέσθαι αὐτῇ. ἀπομανεὶς οὖν ἔδωκα αὐτῇ
me to-have-had-intercourse with-her having-gone-mad then I-gave her
κόσσον καὶ γέγονεν ἄφαντος. ἐπὶ διετίαν οὖν τῆς δυσωδίας
(a)-slap and she-became invisible for two-years then the stench
τῆς χειρός μου ἀνασχέσθαι οὐκ ἠδυνήθην. μικροψυχήσας
of-the hand my to-bear not I-was-able having-lost-heart
οὖν καὶ ἀπευδοκήσας ἐξῆλθον εἰς τὴν πανέρημον ἀλώμενος·
then and having-despaired I-went-out to the utter-desert wandering
καὶ εὑρὼν ἀσπίδα μικρὰν καὶ λαβὼν αὐτὴν προσφέρω
and having-found (an)-asp small and having-taken it I-bring(-it)

τοῖς γεννητικοῖς μου μορίοις, ἵνα κἂν οὕτω δηχθεὶς
to-the generative my parts that even thus having-been-bitten
ἀποθάνω. καὶ προστρίψας τοῦ θηρίου τὴν κεφαλὴν τοῖς
I-might-die and having-rubbed of-the beast the head on-the
μορίοις, ὡς αἰτίοις μοι τοῦ πειρασμοῦ, οὐδὲ οὕτως
parts as causes to-me of-the temptation not-even thus
ἐδήχθην. ἤκουσα οὖν φωνῆς ἐλθούσης ἐν τῇ διανοίᾳ
I-was-bitten I-heard then (a)-voice coming in the mind
μου, ὅτι Ἄπελθε, Πάχων, ἀγωνίζου· διὰ γὰρ τοῦτο
my that go-away Pachon contend because-of for this
ἀφῆκά σε καταδυναστευθῆναι, ἵνα μὴ μέγα φρονήσῃς
I-let you to-be-overpowered that not great(-things) you-may-think
ὡς δυνάμενος, ἀλλ' ἐπιγνούς σου τὴν ἀσθένειαν μὴ
as being-able but having-recognized your the weakness not
θαρρήσῃς τῇ σῇ πολιτείᾳ, ἀλλὰ προσδράμῃς τῇ τοῦ
you-may-trust in-the your way-of-life but you-may-run to-the —
θεοῦ βοηθείᾳ. οὕτω πληροφορηθεὶς ἀνέκαμψα, καὶ μετὰ
of-God help thus having-been-fully-assured I-returned and with
θάρρους καθίσας καὶ μηκέτι φροντίσας τοῦ πολέμου
confidence having-sat and no-longer having-taken-thought of-the war
εἰρήνευσα τὰς ἐπιλοίπους ἡμέρας. ὁ δὲ γνούς μου τὴν
I-was-at-peace the remaining days he and having-known my the
καταφρόνησιν οὐκέτι μοι ἤγγισεν.
contempt no-longer to-me came-near

24 Στέφανός τις Λίβυς τῷ γένει ἐκ πλαγίου τῆς
Stephen a-certain Libyan by-the race from (the)-side of-the
Μαρμαρικῆς καὶ τοῦ Μαρεώτου ἐκαθέσθη ἐπὶ ἑξήκοντα
Marmarica and of-the Mareotis sat for sixty
ἔτη. οὗτος εἰς ἄκρον γενόμενος ἀσκητὴς καὶ διακριτικὸς
years this(-man) to (the)-height having-become ascetic and discerning
κατηξιώθη χαρίσματος ὥστε πάντα τὸν λυπούμενον
was-deemed-worthy of-(a)-gift so-that every the(-one) grieving

οἱανδήποτε λύπην συντυχόντα αὐτῷ ἄλυπον ἀναχωρεῖν.
with-whatever grief having-met him without-grief to-withdraw
γνώριμος δὲ ἦν καὶ τῷ μακαρίῳ Ἀντωνίῳ· ἔφθασε
known and he-was also to-the blessed Antony he-reached
δὲ καὶ μέχρι τῶν ἡμετέρων ἡμερῶν. ᾧ ἐγὼ μὲν οὐ
and also until the our days whom I indeed not
συνέτυχον διὰ τὸ μῆκος τοῦ τόπου· οἱ δὲ περὶ τὸν
met because-of the length of-the place those but around the
ἅγιον Ἀμμώνιον καὶ Εὐάγριον συντυχόντες μοι διηγήσαντο
holy Ammonius and Evagrius having-met me related
ὅτι Κατελάβομεν αὐτὸν ἀρρωστίᾳ τοιαύτῃ περιπεσόντα
that we-found him into-sickness such having-fallen
κατ᾽ αὐτοὺς τοὺς τόπους τῶν διδύμων καὶ τῆς βαλάνου
in very the places of-the testicles and of-the glans
ἕλκος ποιήσαντα τὸ λεγόμενον φαγέδαιναν. ὃν εὕρομεν
(an)-ulcer having-made the(-one) called gangrene whom we-found
τημελούμενον ὑπὸ ἰατροῦ τινός, καὶ ταῖς μὲν χερσὶν
being-tended by physician a-certain and with-the indeed hands
ἐργαζόμενον καὶ πλέκοντα θαλλοὺς καὶ λαλοῦντα ἡμῖν, τὸ
working and plaiting shoots and talking to-us the
δὲ λοιπὸν σῶμα χειριζόμενον· ὃς οὕτως ἦν διακείμενος ὡς
and rest body being-operated-on who thus was disposed as
ἄλλου τεμνομένου. ἀποκοπέντων οὖν τῶν μελῶν καθάπερ
another being-cut having-been-cut-off then the members like
τριχῶν, ἀναίσθητος ἦν ὑπερβολῇ παρασκευῆς θεϊκῆς.
hairs insensible he-was by-excess of-preparation divine
ἡμῶν δὲ τοῦτο μὲν ὑπολυπουμένων, τοῦτο δὲ καὶ
us and this(-thing) indeed being-somewhat-grieved this(-thing) and also
σιαινομένων ὅτι τοιοῦτος βίος τοιούτῳ περιπέπτωκε πάθει
being-disgusted that such (a)-life into-such has-fallen passion
καὶ χειρουργίαις τοιαύταις, λέγει ἡμῖν· Τεκνία, μηδὲν
and surgeries such he-says to-us little-children nothing

βλαβῆτε ἀπὸ τοῦ πράγματος· οὐδὲν γὰρ ὧν ποιεῖ ὁ
be-harmed from the matter nothing for of-what does —
θεὸς κακίᾳ ποιεῖ, ἀλλὰ τέλει χρηστῷ. ἴσως γὰρ καὶ
God from-evil does but for-(an)-end good perhaps for even
ὑπεύθυνα ἦσαν τὰ μέλη κολάσεως, καὶ συμφέρον ἐστὶν
liable were the members to-punishment and advantageous it-is
αὐτὰ ὧδε δοῦναι τὴν δίκην ἢ μετὰ τὴν ἔξοδον τοῦ
them here to-pay the penalty than after the exit of-the
σταδίου. οὕτως οὖν ἡμᾶς παρακαλέσας καὶ ὑποστηρίξας
race-course thus then us having-exhorted and having-supported
ᾠκοδόμησε. ταῦτα δὲ διηγησάμην ἵνα μὴ ξενιζώμεθα
he-edified these(-things) and I-related that not we-may-be-astonished
ὅταν ἁγίους τινὰς ἴδωμεν τοιούτοις περιπεσόντας πάθεσιν.
when holy(-men) some we-see into-such having-fallen passions
25 Οὐάλης τις γέγονε τῷ μὲν γένει Παλαιστῖνος, τῇ δὲ
Valens a-certain was by-the indeed race Palestinian by-the and
γνώμῃ Κορίνθιος· Κορινθίοις γὰρ προσῆψε τὸ πάθος τῆς
mind Corinthian to-Corinthians for attached the passion of-the
φυσιώσεως ὁ ἅγιος Παῦλος. οὗτος τὴν ἔρημον καταλαβὼν
puffing-up the holy Paul this(-man) the desert having-occupied
ᾤκησε μεθ' ἡμῶν ἐπὶ πλείονα ἔτη· ὃς ἐπὶ τοσοῦτον ἤλασεν
dwelt with us for more years who to so-far drove
ὑπερηφανίας ὡς ὑπὸ δαιμόνων ἀπατηθῆναι. ἐκ γὰρ
of-pride as by demons to-be-deceived from for
τοῦ κατὰ μικρὸν ἀπατᾶσθαι αὐτὸν παρεσκεύασαν αὐτὸν
the by little to-be-deceived him they-prepared him
μέγα φρονῆσαι, ὡς ἀγγέλων αὐτῷ συντυγχανόντων.
great(-things) to-think as angels with-him meeting
μιᾶς γοῦν τῶν ἡμερῶν, ὡς διηγοῦντο, ὅτι ἐργαζόμενος
reasonable bringing the demon fans-up he-suggested for to-you
καὶ τὴν τοῦ πατρός σου ἐπιθυμίαν, καὶ τὴν κατήχησιν τοῦ
both the of-the father your longing and the instruction of-the
ἀδελφοῦ σου καὶ τῆς ἀδελφῆς εἰς τὸν μονήρη βίον. ἰδὲ οὖν
brother your and of-the sister into the solitary life behold then
σοι εὐαγγελίζομαι· Ἀμφότεροι ἐσώθησαν· ἀπετάξαντο γάρ.
to-you I-announce-good-news both have-been-saved they-have-renounced for
καὶ ὁ πατήρ σου ζῆσαι ἔχει ἀκμὴν ἄλλα ἔτη. ἐγκαρτέρει
and the father your to-live has still other years persevere
οὖν ἐν τῇ ἐρήμῳ, καὶ μὴ τούτων χάριν θελήσῃς ἀπελθεῖν
then in the desert and not of-these for-the-sake wish to-go-away

ἐν τῇ πατρίδι σου· γέγραπται γάρ· Οὐδεὶς ἐπιβαλὼν τὴν
into the homeland your it-is-written for no-one having-put the
χεῖρα ἐπ᾽ ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός
hand on (a)-plow and having-turned to the(-things) behind fit
ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὠφεληθεὶς οὖν ἐκ
is for the kingdom of-the heavens having-been-benefited then by
τῶν ῥημάτων τούτων καὶ στυφθεὶς ἱκανῶς, ηὐχαρίστησα
the words these and checked sufficiently I-gave-thanks
τῷ θεῷ τὰς ἐλαυνούσας με προφάσεις ἠνυσμένας μαθών.
— to-God the driving me pretexts accomplished having-learned
Εἶτα πάλιν λέγει μοι χαριεντιζόμενος· Θέλεις ἐπίσκοπος
then again he-says to-me jesting do-you-wish bishop
γενέσθαι; εἶπον αὐτῷ ὅτι Εἰμί. καὶ λέγει μοι· Ποῦ; εἶπον
to-become I-said to-him that I-am and he-says to-me where I-said
ὅτι Εἰς τὰ μαγειρεῖα, εἰς τὰ καπηλεῖα, εἰς τὰς τραπέζας,
that in the kitchens in the taverns at the tables
εἰς τὰ κεράμια· ἐπισκοπῶ αὐτά, καὶ ἐὰν ᾖ οἰνάριον ὄξινον
at the jars I-oversee them and if be (a)-little-wine sour
ἀφορίζω αὐτό, τὸ δὲ χρηστὸν πίνω· ὁμοίως ἐπισκοπῶ καὶ
I-set-aside it the but good I-drink likewise I-oversee also
τὴν χύτραν, καὶ ἐὰν λείπῃ ἅλας ἤ τι τῶν ἀρτυμάτων
the pot and if is-lacking salt or anything of-the seasonings
βάλλω καὶ ἀρτύω, καὶ οὕτως αὐτὴν ἐσθίω. αὕτη μού
I-throw-in and season and thus it I-eat this my
ἐστιν ἡ ἐπισκοπή· ἐχειροτόνησε γάρ με ἡ γαστριμαργία.
is the bishopric ordained for me the gluttony
λέγει μοι οὗτος μειδιάσας· Ἄφες τὰ παίγνια· ἐπίσκοπος
says to-me this(-man) having-smiled let-go the jokes bishop
ἔχεις χειροτονηθῆναι καὶ πολλὰ καμεῖν καὶ θλιβῆναι· εἰ
you-have to-be-ordained and much to-toil and to-be-afflicted if

τοίνυν φεύγεις τὰς θλίψεις, μὴ ἐξέλθῃς τῆς ἐρήμου· ἐν
therefore you-flee the afflictions not go-out from-the desert in
γὰρ τῇ ἐρήμῳ ἐπίσκοπόν σε οὐδεὶς ἔχει χειροτονῆσαι.
for the desert bishop you no-one has to-ordain
Ἀναχωρήσας οὖν αὐτοῦ ἦλθον ἐπὶ τὴν ἔρημον εἰς τὸν
having-withdrawn then from-him I-came to the desert to the
τόπον μου τὸν συνήθη, αὐτὰ ταῦτα διηγησάμενος τοῖς
place my the usual very these(-things) having-related to-the
μακαρίοις πατράσιν· οἵτινες μετὰ δύο μῆνας πλεύσαντες
blessed fathers who after two months having-sailed
ἦλθον καὶ συνέτυχον αὐτῷ. ἐγὼ δὲ τῶν ῥημάτων αὐτοῦ
came and met him I but the words his
ἐπελαθόμην. μετὰ γὰρ τρία ἔτη ἠρρώστησα ἀρρωστίαν
forgot after for three years I-was-sick (a)-sickness
τὴν ἀπὸ σπληνὸς καὶ στομάχου· ἐκεῖθεν ἀπεστάλην ἐπὶ
the(-one) from spleen and stomach from-there I-was-sent to
τὴν Ἀλεξάνδρειαν παρὰ τῶν ἀδελφῶν, ὕδρωπα μελετήσας.
— Alexandria by the brothers dropsy having-practiced
ἀπὸ τῆς Ἀλεξανδρείας συμβουλεύσαντες οἱ ἰατροί, τῶν
from — Alexandria having-advised the physicians of-the
ἀέρων ἕνεκεν, καταλαμβάνειν με τὴν Παλαιστίνην· ἔχει γὰρ
airs for-the-sake to-go me — to-Palestine it-has for
λεπτοὺς ἀέρας, ὡς πρὸς τὴν κρᾶσιν τὴν ἡμετέραν· ἀπὸ
light airs as for the temperament the our from
τῆς Παλαιστίνης κατέλαβον τὴν Βιθυνίαν· καὶ ἐν ταύτῃ —
— Palestine I-reached — Bithynia and in this
οὐκ οἶδα πῶς, εἴτε ἐξ ἀνθρωπίνης σπουδῆς, εἴτε ἐξ
not I-know how whether from human zeal or from
εὐδοκίας τοῦ κρείττονος· θεὸς ἂν εἰδείη — κατηξιώθην
good-pleasure of-the better God — may-know I-was-deemed-worthy
τῆς ὑπὲρ ἐμὲ χειροτονίας, κοινωνήσας τῇ περιστάσει
of-the beyond me ordination having-shared in-the calamity

τῇ κατὰ τὸν μακάριον Ἰωάννην· καὶ ἐπὶ ἕνδεκα μῆνας
the(-one) concerning the blessed John and for eleven months
ἐν ζοφερῷ κελλίῳ κρυπτόμενος ἐμνήσθην τοῦ μακαρίου
in (a)-dark cell hiding I-remembered of-the blessed
ἐκείνου, ὅτι ταῦτά μοι προειρήκει ἅπερ ὑπέστην. καὶ
that(-one) that these(-things) to-me he-had-foretold which I-underwent and
τοῦτο δέ μοι διηγεῖτο ὡς ὀφείλων με διὰ τοῦ διηγήματος
this too to-me he-related as having-to me through the narrative
ἀγαγεῖν εἰς ὑπομονὴν τῆς ἐρήμου, ὅτι Τεσσαρακονταοκτὼ
to-lead to endurance of-the desert that forty-eight
ἔτη ἔχω ἐν τῇ κέλλῃ ταύτῃ· οὐ γυναικὸς πρόσωπον
years I-have in the cell this not of-woman (a)-face
εἶδον, οὐ νομίσματος ἰδέαν· οὐ μασώμενόν τινα εἶδον·
I-saw not of-coin (a)-form not chewing anyone I-saw
οὐκ ἐσθίοντα, οὐ πίνοντά με εἶδέ τις.
not eating not drinking me saw anyone
Οὗτος καὶ τῇ δούλῃ τοῦ θεοῦ Ποιμενίῃ παραβαλούσῃ
this(-man) also to-the servant — of-God Poemenia having-come
ἱστορίας χάριν οὐ συντετύχηκε μέν, ἐδήλωσε δὲ αὐτῇ
of-inquiry for-the-sake not met indeed revealed but to-her
τινὰ καὶ τῶν ἀπορρήτων. παρήγγειλε δὲ αὐτῇ κατερχομένῃ
some also of-the secrets charged and her going-down
ἀπὸ Θηβαΐδος μὴ ἐκνεῦσαι εἰς τὴν Ἀλεξάνδρειαν, Ἐπεὶ
from (the)-Thebaid not to-turn-aside into — Alexandria since
πειρασμοῖς ἔχεις περιπεσεῖν. ἡ δὲ παραλογισαμένη ἢ
into-temptations you-are-to fall she but having-miscalculated or
ἐπιλαθομένη ἐξένευσεν ἐπὶ τὴν Ἀλεξάνδρειαν ἱστορῆσαι τὴν
having-forgotten turned-aside to — Alexandria to-see the
πόλιν. κατὰ δὲ τὴν ὁδὸν πλησίον Νικίους τῆς πόλεως
city on and the road near Nikiu the city
παρέβαλεν αὐτῆς τὰ πλοῖα ἀναπαύσεως χάριν. ἐξελθόντες
put-in her the boats of-rest for-the-sake having-gone-out

οὖν οἱ παῖδες ἐξ ἀταξίας τινὸς συνέβαλον μάχην μετὰ
then the servants from disorderliness a-certain joined battle with
τῶν ἐπιχωρίων, ἀνδρῶν ἀπονενοημένων· οἵτινες ἑνὸς μὲν
the local men desperate who of-one indeed
εὐνούχου δάκτυλον ἦραν, ἄλλον δὲ ἐφόνευσαν, Διονύσιον
eunuch (a)-finger took-off another and killed Dionysius
δὲ τὸν ἁγιώτατον ἐπίσκοπον καὶ εἰς τὸν ποταμὸν ἔβαψαν
and the most-holy bishop also into the river dipped
ἀγνοήσαντες, κἀκείνην αὐτὴν λοιδορίαις καὶ ἀπειλαῖς
not-knowing(-him) and-her herself with-abuses and threats
συνέτριψαν, τοὺς λοιποὺς πάντας τραυματίσαντες παῖδας.
they-crushed the rest all having-wounded servants

X · POSIDONIUS AND SARAPION

Posidonius the Theban, with whom Palladius lives a year at Bethlehem, spends a year in the Porphyrite desert without meeting a man, casts a demon out of a woman about to give birth, and foretells that Paula will die before Jerome, freed from his envy. Sarapion, called Sindonius because he wore nothing but a linen cloth, sells himself to a family of pagan actors and converts them, and later to a Manichaean near Lacedaemon, whom he converts; he begs at Athens, sails penniless to Rome, and there tests a virgin who has not left her room for twenty-five years.

Τὰ κατὰ Ποσειδώνιον τὸν Θηβαῖον πολλὰ μὲν καὶ 36
the(-things) concerning Posidonius the Theban many indeed and
δυσδιήγητα, πῶς τε ἦν πραΰς καὶ ὅπως ἀσκητικώτατος,
hard-to-relate how both he-was meek and how most-ascetic
καὶ πόσην τινὰ εἶχεν ἐν ἑαυτῷ τὴν ἀκακίαν, οὐκ οἶδα
and how-much some he-had in himself the guilelessness not I-know
εἰ συντετύχηκά τινι. συνέζησα γὰρ τούτῳ ἐπὶ ἔτος ἓν
if I-have-met anyone I-lived-with for this(-man) for year one

ἐν Βηθλεὲμ ὁπηνίκα ἐκαθέσθη ἐπέκεινα τοῦ Ποιμενίου,
in Bethlehem when he-sat beyond — Poemenius
καὶ πολλὰς αὐτοῦ κατεῖδον ἀρετάς· ἐν οἷς μοι αὐτὸς
and many his I-observed virtues among which to-me himself
διηγεῖτο μιᾶς τῶν ἡμερῶν ὅτιπερ Εἰς τὸν Πορφυρίτην
related on-one of-the days that in the Porphyrite
τόπον οἰκήσας ἔτος ἓν ἀνθρώπῳ οὐ συντετύχηκα ὅλῳ
place having-dwelt year one with-(a)-man not I-met (in)-whole
τῷ ἔτει, οὐχ ὁμιλίας ἀκήκοα, οὐκ ἄρτου ἡψάμην· ἀλλ'
the year not converse I-heard not bread I-touched but
ἢ βραχέσι φοινικίοις διεγενόμην καὶ εἴ που βοτάνας
except on-few dates I-lived and if somewhere herbs
εὗρον ἀγρίας. ἐν οἷς ποτὲ ἐκλειπόντων μου τῶν
I-found wild among which(-times) once having-failed my the
βρωμάτων, ἐξῆλθον τοῦ σπηλαίου ἐπὶ τὸ ἐλθεῖν εἰς τὴν
foods I-went-out from-the cave for the to-go into the
οἰκουμένην. καὶ περιπατήσας διὰ πάσης τῆς ἡμέρας μόλις
inhabited(-world) and having-walked through all the day scarcely
ἀπέσχον τοῦ σπηλαίου σημεῖα δύο. περιβλεψάμενος
I-was-distant-from the cave miles two having-looked-around
οὖν ὁρῶ ἱππέα στρατιώτου ἔχοντα σχῆμα, τιαρηφόρον
then I-see (a)-horseman of-(a)-soldier having (the)-guise tiara-wearing
κράνος ἔχοντα ἐπὶ τῆς κεφαλῆς· καὶ προσδοκήσας αὐτὸν
(a)-helmet having on the head and having-supposed him
εἶναι στρατιώτην ὥρμησα ἕως τοῦ σπηλαίου, καὶ
to-be (a)-soldier I-rushed as-far-as the cave and
εὗρον κάρταλον σταφυλῶν καὶ συκῶν νεαροτμήτων·
I-found (a)-basket of-grapes and of-figs freshly-cut
ὃν λαβὼν καὶ περιχαρὴς γενόμενος εἰσῆλθον εἰς τὸ
which having-taken and overjoyed having-become I-went-in into the
σπήλαιον, ἐπὶ μῆνας δύο ἔχων ἐκεῖνα τὰ βρώματα
cave for months two having those the foods

παραμυθίαν. τοῦτο δὲ πεποίηκε τὸ θαῦμα ἐν Βηθλεέμ·
(as)-consolation this and he-has-done the wonder in Bethlehem
γυνή τις ἐγκύμων πνεῦμα εἶχεν ἀκάθαρτον, καὶ ἐν
woman a-certain pregnant (a)-spirit had unclean and in
αὐτῷ τῷ μέλλειν γεννᾶν ἐδυστόκει, τοῦ πνεύματος
very the to-be-about to-give-birth she-had-hard-labor the spirit
συντρίβοντος αὐτήν. τῆς γυναικὸς οὖν δαιμονιζομένης ὁ
crushing her the woman then being-demon-possessed the
ἀνὴρ αὐτῆς ἐπέστη καὶ παρεκάλει τὸν ἅγιον ἐκεῖνον
husband her came and begged the holy that
παραγενέσθαι. εἰσελθόντων οὖν ἡμῶν ἅμα εὔξασθαι,
to-come having-gone-in then we together to-pray
στὰς καὶ προσευξάμενος μετὰ δευτέραν γονυκλισίαν
having-stood and having-prayed after (the)-second genuflection
ἐξέβαλε τὸ πνεῦμα. ἀναστὰς οὖν λέγει ἡμῖν· Εὔξασθε,
he-cast-out the spirit having-risen then he-says to-us pray
ἄρτι γὰρ ἐξελαύνει τὸ πνεῦμα τὸ ἀκάθαρτον· σημεῖον
now for is-going-out the spirit the unclean sign
δέ τι ἔχει ὑπάρξαι ἵνα πληροφορηθῶμεν. ἐξερχόμενος
and some it-has to-be that we-may-be-fully-assured going-out
οὖν ὁ δαίμων ἀπὸ θεμελίου τὸν τοῖχον τῆς αὐλῆς
then the demon from foundation the wall of-the court
ὅλον ἔβαλε κάτω. ἦν δὲ τὸ γύναιον ἐξαετίαν μὴ
whole threw down was and the little-woman six-years not
λαλῆσαν· μετὰ οὖν τὸ ἐξελθεῖν τὸν δαίμονα ἔτεκε καὶ
having-spoken after then the to-go-out the demon she-bore and
ἐλάλησεν.
spoke
Τοῦ ἀνδρὸς τούτου καὶ προφητείαν ἔγνων ταύτην·
of-the man this also prophecy I-knew this
Ἱερώνυμός τις πρεσβύτερος ᾤκει εἰς τοὺς τόπους
Jerome a-certain presbyter dwelt in the places

ἐκείνους, ἀρετῇ λόγων ῥωμαϊκῶν κεκοσμημένος καὶ εὐφυίᾳ·
those in-virtue of-letters Latin adorned and in-talent
τοσαύτην δὲ εἶχε βασκανίαν ὡς ὑπὸ ταύτης καλύπτεσθαι
such but he-had envy that by this to-be-covered
τῶν λόγων τὴν ἀρετήν. συγχρονίσας οὖν αὐτῷ ὁ
of-the letters the virtue having-spent-time-with then him —
Ποσειδώνιος ἡμέρας πλείους λέγει μοι πρὸς τὸ οὖς
Posidonius days more he-says to-me to the ear
ὅτι Ἡ μὲν ἐλευθέρα Παῦλα, ἡ φροντίζουσα αὐτοῦ,
that the indeed noble Paula the(-one) caring-for him
προτελευτήσει, ἀπαλλαγεῖσα αὐτοῦ τῆς βασκανίας, ὡς
will-die-first having-been-freed from-his the envy as
οἶμαι. χάριν δὲ τούτου τοῦ ἀνδρὸς οὐ μὴ οἰκήσει
I-think for-the-sake and of-this the man not — will-dwell
ἅγιος ἀνὴρ εἰς τοὺς τόπους τούτους, ἀλλὰ φθάσει αὐτοῦ
holy man in the places these but will-reach his
ὁ φθόνος καὶ μέχρι τοῦ ἰδίου ἀδελφοῦ. ἐν οἷς
the envy even as-far-as the own brother among which(-things)
καὶ συνέβη τὸ πρᾶγμα. καὶ γὰρ καὶ Ὀξυπερέντιον
also happened the matter and for also Oxyperentius
τὸν μακάριον ἤλασε τὸν Ἰταλόν, καὶ Πέτρον ἄλλον
the blessed he-drove-out the Italian and Peter other
τινὰ Αἰγύπτιον, καὶ Συμεῶνα, θαυμασίους ἄνδρας,
a-certain Egyptian and Symeon wonderful men
οὓς τέως ἐγὼ ἐπεσημηνάμην. οὗτός μοι διηγεῖτο ὁ
whom then I noticed this(-man) to-me related —
Ποσειδώνιος ὡς ἄρτου πεῖραν μὴ ἔχων ἀπὸ ἔτους
Posidonius that of-bread experience not having from year
τεσσαρακοστοῦ, μήτε μὴν μνησικακήσας τινὶ μέχρι
fortieth nor indeed having-borne-a-grudge against-anyone until
ἡμισείας ἡμέρας.
half (a)-day

Ἄλλος Σαραπίων τις γέγονεν, ἐπεκέκλητο δὲ 37
another Sarapion a-certain was he-had-been-surnamed and
σινδόνιος, παρεκτὸς γὰρ σινδονίου οὐδέποτε οὐδὲν
Sindonius except for (a)-linen-cloth never anything
περιεβάλλετο· ὃς πολλὴν ἐξήσκησεν ἀκτημοσύνην,
he-put-on who much practiced poverty
εὐγράμματος δὲ ὢν ἀπεστήθιζε πάσας τὰς γραφάς·
well-lettered and being he-knew-by-heart all the scriptures
καὶ ἀπὸ πολλῆς ἀκτημοσύνης καὶ μελέτης γραφῶν
and from much poverty and study of-scriptures
οὐδὲ ἠρεμῆσαι ἴσχυσεν ἐν κελλίῳ, μὴ περισπώμενος
not-even to-be-still he-could in (a)-cell not distracted
ὕλῃ, ἀλλὰ περιερχόμενος τὴν οἰκουμένην ταύτην
by-matter but going-around the inhabited(-world) this
κατώρθωσε τὴν ἀρετήν· ταύτης γὰρ ἐγεγόνει καὶ
he-accomplished the virtue of-this for he-had-been also
τῆς φύσεως· διαφόραι γάρ εἰσιν φύσεων, οὐκ
of-the nature differences for are of-natures not
οὐσιῶν.
of-substances
Διηγοῦντο οὖν οἱ πατέρες ὅτι λαβών τινα συμπαίκτην
related then the fathers that having-taken a-certain fellow-player
ἀσκητὴν πέπρακεν ἑαυτὸν μίμοις Ἕλλησιν ἐν πόλει
ascetic he-sold himself to-actors Greeks in city
τινὶ εἴκοσι νομισμάτων. καὶ σφραγίσας τὰ νομίσματα
a-certain for-twenty coins and having-sealed the coins
ἐφύλαττε παρ᾽ ἑαυτῷ. ἐπὶ τοσοῦτον οὖν παρέμεινε καὶ
he-kept(-them) by himself for so-long then he-remained and
ἐδούλευσε τοῖς ἀγοράσασιν αὐτὸν μίμοις μέχρις οὗ καὶ
served the having-bought him actors until — also
χριστιανοὺς αὐτοὺς ἐποίησε καὶ τοῦ θεάτρου ἀπέστησε,
Christians them he-made and from-the theater withdrew(-them)

παρεκτὸς ἄρτου καὶ ὕδατος οὐδενὸς λαμβάνων, οὐδὲ
except bread and water nothing taking nor
ἡσυχάζων τῷ στόματι ἀπὸ μελέτης γραφῶν. τῷ
being-still with-the mouth from study of-scriptures in-the
μακρῷ χρόνῳ πρῶτος κατενύγη ὁ ἀνήρ, εἶτα ἡ
long time first was-pricked-in-heart the man then the
μιμάς, εἶτα ὁ σύμπας οἶκος αὐτῶν. ἐλέγετο δὲ ὅτι
actress then the whole household their it-was-said and that
εἰς ὅσον αὐτὸν ἠγνόουν ἀμφοτέρων ἔνιπτε τοὺς
for as-long-as him they-did-not-know of-both he-washed the
πόδας. ἀμφότεροι οὖν βαπτισθέντες ἀπέστησαν τοῦ
feet both then having-been-baptized withdrew from-the
θεατρίζειν, καὶ ἐπὶ τὸν σεμνὸν καὶ θεοσεβῆ ἐλάσαντες
to-act-in-the-theater and to the august and God-fearing having-driven
βίον σφόδρα ᾐδοῦντο τὸν ἄνδρα καὶ λέγουσιν αὐτῷ·
life greatly they-revered the man and say to-him
Δεῦρο, ἀδελφέ, ἐλευθερώσωμέν σε, ἐπειδὴ αἰσχρᾶς
come brother let-us-free you since from-shameful
ἡμᾶς δουλείας ἠλευθέρωσας αὐτός. λέγει αὐτοῖς· Ἐπειδὴ
us slavery you-freed yourself says to-them since
ἐνήργησεν ὁ θεὸς καὶ ἐσώθη ὑμῶν ἡ ψυχή, εἴπω
has-worked — God and has-been-saved your the soul let-me-tell
ὑμῖν τὸ μυστήριον τοῦ δράματος· ἐγὼ κατοικτειρήσας
you the mystery of-the play I having-pitied
ὑμῶν τὴν ψυχήν, ἐλεύθερος ὢν ἀσκητὴς τῷ γένει
your the soul free being ascetic by-the race
Αἰγύπτιος, τούτου χάριν πέπρακα ἐμαυτὸν ἵνα σώσω
Egyptian of-this for-the-sake I-sold myself that I-might-save
ὑμᾶς. ἐπειδὴ δὲ τοῦτο πεποίηκεν ὁ θεὸς καὶ ἐσώθη
you since and this has-done — God and has-been-saved
ὑμῶν ἡ ψυχὴ διὰ τῆς ἐμῆς ταπεινώσεως, λάβετε ὑμῶν
your the soul through the my humiliation take your

τὸν χρυσὸν ἵνα ἀπέλθω καὶ ἄλλοις βοηθήσω. οἱ δὲ
the gold that I-may-go-away and to-others I-may-help they but
πολλὰ παρακαλέσαντες αὐτὸν καὶ διαβεβαιωσάμενοι ὅτι
much having-begged him and having-affirmed that
Ὡς πατέρα σε ἕξομεν καὶ δεσπότην, μόνον μεῖνον
as father you we-will-have and master only stay
μεθ' ἡμῶν· οὐκ ἴσχυσαν αὐτὸν πεῖσαι. τότε λέγουσιν
with us not were-able him to-persuade then they-say
αὐτῷ· Δὸς τὸ χρυσίον πτωχοῖς, ἀρραβὼν γὰρ ἡμῖν
to-him give the gold to-poor(-people) (a)-pledge for to-us
γέγονε σωτηρίας· ἀλλὰ κἂν δι' ἐνιαυτοῦ ἡμᾶς
it-has-become of-salvation but at-least through (a)-year us
ὅρα.
see

Οὗτος ταῖς συνεχέσιν ἀποδημίαις κατήντησεν εἰς Ἑλλάδα,
this(-man) by-the continual journeys arrived at Greece
καὶ διατρίψας τριῶν ἡμερῶν ἐν Ἀθήναις οὐκ ἠξιώθη
and having-spent three days in Athens not he-was-deemed-worthy
παρά τινος ἄρτου· οὔτε γὰρ κέρμα ἐβάσταζεν, οὐ
by anyone of-bread neither for (a)-coin he-carried not
πήραν, οὐ μηλωτήν, οὐδὲν τῶν τοιούτων. τετάρτης οὖν
(a)-wallet not (a)-sheepskin anything of-the such(-things) (the)-fourth then
ἐπιλαβομένης ἡμέρας σφόδρα ἐπείνασε· δεινὴ γὰρ ἡ
having-come-on day greatly he-hungered terrible for the
ἀκούσιος πεῖνα, συνήγορον ἔχουσα τὴν ἀπιστίαν. καὶ
involuntary hunger advocate having the faithlessness and
στὰς ἐπὶ γεωλόφου τῆς πόλεως, ἔνθα οἱ ἐν τέλει
having-stood on (a)-hillock of-the city where those in office
ἦσαν συναθροιζόμενοι τῆς πόλεως, ἤρξατο ἀποδύρεσθαι
were gathered of-the city he-began to-lament
βίαν μετὰ κρότου χειρῶν καὶ κράζειν· Ἄνδρες Ἀθηναῖοι,
violently with clapping of-hands and to-cry men Athenians

βοηθεῖτε. καὶ προσδραμόντες ἅπαντες ὑφ' ἕν, τριβωνοφόροι
help and having-run-up all at once cloak-wearers
τε καὶ βιρροφόροι, λέγουσιν αὐτῷ· Τί ἔχεις, ἄνθρωπε; ἢ
both and hood-wearers they-say to-him what have-you man or
πόθεν εἶ; ἢ τί πάσχεις; λέγει αὐτοῖς· Τῷ μὲν γένει
from-where are-you or what do-you-suffer he-says to-them by-the indeed race
εἰμὶ Αἰγύπτιος· ἀφ' οὗ δὲ τῆς ἀληθινῆς μου πατρίδος
I-am Egyptian from which and the true my homeland
ἀπέστην τρισὶ δανεισταῖς περιέπεσα· καὶ οἱ μὲν δύο
I-departed three creditors I-fell-in-with and the indeed two
μου ἀπηλλάγησαν πληρωθέντες τὸ χρέος, οὐκ ἔχοντες
from-me departed having-been-paid the debt not having
ὃ ἐγκαλέσουσιν· ὁ δὲ εἷς μου οὐκ ἀπαλλάττεται.
what they-will-charge the but one me not lets-go
φιλοπραγμονοῦντες οὖν ἐκεῖνοι τοὺς δανειστὰς ἵνα αὐτοὺς
busily-inquiring then they the creditors that them
πληροφορήσωσιν, ἠρώτων αὐτόν· Ποῦ εἰσί, καὶ τίνες
they-might-satisfy they-asked him where are-they and who
εἰσί; τίς ἐστιν ὁ ὀχλῶν σοι; δεῖξον ἡμῖν αὐτὸν
are-they who is the(-one) troubling you show us him
ἵνα σοι βοηθήσωμεν. τότε λέγει αὐτοῖς· Ὤχλησάν μοι
that you we-may-help then he-says to-them troubled me
ἐκ νεότητος φιλαργυρία καὶ γαστριμαργία καὶ πορνεία·
from youth avarice and gluttony and fornication
τῶν δύο ἀπηλλάγην, φιλαργυρίας καὶ πορνείας· οὐκέτι
of-the two I-was-freed avarice and fornication no-longer
μοι ὀχλοῦσι· γαστριμαργίας δὲ ἀπαλλαγῆναι οὐ δύναμαι.
me trouble from-gluttony but to-be-freed not I-can
τετάρτην γὰρ ἔχω ἡμέραν μὴ φαγών, καὶ παραμένει
(the)-fourth for I-have day not having-eaten and remains
μοι ὀχλοῦσα ἡ γαστὴρ καὶ ζητοῦσα τὸ σύνηθες χρέος
to-me troubling the belly and seeking the customary debt

οὗ ἄνευ ζῆσαι οὐ δύναμαι. τότε τινὲς τῶν φιλοσόφων
which without to-live not I-can then some of-the philosophers
ὑπονοήσαντες εἶναι αὐτὸ σκηνήν, διδόασιν αὐτῷ νόμισμα·
having-suspected to-be it (a)-show give him (a)-coin
καὶ δεξάμενος ἔθηκεν ἐν ἀρτοπωλείῳ, καὶ λαβὼν ἕνα
and having-received(-it) he-put(-it) in (a)-bakery and having-taken one
ἄρτον ἀνεχώρησε παραχρῆμα ὁδεύσας τῆς πόλεως
loaf he-withdrew at-once having-traveled from-the city
καὶ μηκέτι ὑποστρέψας εἰς αὐτήν. τότε ἔγνωσαν οἱ
and no-longer having-returned to it then knew the
φιλόσοφοι ὅτι ἀληθῶς ἐνάρετος ἦν, καὶ δόντες τῷ
philosophers that truly virtuous he-was and having-given to-the
ἀρτοπώλῃ τὴν τιμὴν τοῦ ἄρτου ἔλαβον τὸ νόμισμα.
baker the price of-the loaf they-took the coin
ἐλθὼν δὲ εἰς τοὺς περὶ Λακεδαίμονας τόπους ἤκουσέ
having-come and to the around Lacedaemon places he-heard
τινα τὸν πρῶτον τῆς πόλεως Μανιχαῖον εἶναι ἅμα παντὶ
a-certain the first of-the city Manichaean to-be with all
τῷ οἴκῳ αὐτοῦ, ἐνάρετον ὄντα τὰ ἄλλα. τούτῳ
the house his virtuous being in-the other(-things) to-this(-man)
πάλιν πέπρακεν ἑαυτὸν κατὰ τὸ πρῶτον δρᾶμα·
again he-sold himself according-to the first play
καὶ ἐντὸς δύο ἐτῶν ἀποστήσας αὐτὸν τῆς αἱρέσεως
and within two years having-withdrawn him from-the heresy
καὶ τὴν τούτου ἐλευθέραν προσήγαγε τῇ ἐκκλησίᾳ.
also the his wife he-brought to-the church
τότε αὐτὸν ἀγαπήσαντες οὐκέτι ὡς οἰκέτην ἀλλ' ὡς
then him having-loved no-longer as servant but as
γνήσιον ἀδελφὸν ἢ πατέρα εἶχον καὶ ἐδόξαζον τὸν
genuine brother or father they-held(-him) and glorified —
θεόν.
God

Οὗτος ἔβαλεν ἑαυτόν ποτε εἰς πλοῖον ὡς ὀφείλοντα
this(-man) put himself once into (a)-boat as having-to
πλεῦσαι ἐπὶ τὴν Ῥώμην· οἱ ναυτικοὶ ὑπονοήσαντες ὅτι ἢ
to-sail to — Rome the sailors having-supposed that either
δαπάνας εἰσήνεγκεν ἢ ἐν χρυσῷ κέκτηται τὰ ἀναλώματα,
expenses he-had-brought-in or in gold he-had the means
ἀπεριέργως αὐτὸν ἐδέξαντο, ἄλλος ἄλλον νομίσαντες
without-inquiry him received one another thinking
εἰληφέναι αὐτοῦ τὰ σκεύη. ἐν τῷ ἀποπλεῦσαι αὐτοὺς
to-have-taken his the baggage in the to-sail-off them
καὶ γενέσθαι ἀπὸ σταδίων πεντακοσίων Ἀλεξανδρείας
and to-be from stades five-hundred of-Alexandria
ἤρξαντο οἱ ἐπιβάται περὶ δυσμὰς ἡλίου ἐσθίειν, τῶν
began the passengers about setting of-(the)-sun to-eat the
ναυτικῶν προφαγόντων. εἶδον οὖν αὐτὸν ὅτι οὐκ ἐσθίει
sailors having-eaten-first they-saw then him that not he-eats
τὴν πρώτην ἡμέραν, καὶ προσεδόκησαν διὰ τὸν
the first day and supposed because-of the
πλοῦν· ὁμοίως καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην, καὶ
voyage likewise also the second and the third and
τὴν τετάρτην. τῇ πέμπτῃ ἡμέρᾳ βλέπουσιν αὐτὸν
the fourth on-the fifth day they-see him
καθεζόμενον ἡσυχῇ ἐν τῷ πάντας ἐσθίειν, καὶ λέγουσιν
sitting quietly in the all to-eat and they-say
αὐτῷ· Διὰ τί οὐκ ἐσθίεις, ἄνθρωπε; λέγει αὐτοῖς·
to-him because-of what not do-you-eat man he-says to-them
Ὅτι οὐκ ἔχω. περιειργάσαντο οὖν πρὸς ἀλλήλους· Τίς
because not I-have they-inquired-busily then with one-another who
αὐτοῦ ἔλαβε τὰ σκεύη ἢ τὰ ἀναλώματα; καὶ ὡς εὗρον
his took the baggage or the means and when they-found
ὅτι οὐδείς, ἤρξαντο διαμάχεσθαι αὐτῷ καὶ λέγειν· Πῶς
that no-one they-began to-quarrel-with him and to-say how

εἰσῆλθες ἄνευ ἀναλωμάτων; πόθεν ἡμῖν ἔχεις δοῦναι
did-you-come-in without means from-where to-us have-you to-give
τὸ ναῦλον; ἢ πόθεν ἔχεις τραφῆναι; λέγει αὐτοῖς· Ἐγὼ
the fare or from-where have-you to-be-fed he-says to-them I
πρᾶγμα οὐκ ἔχω· ἀπενέγκατέ με καὶ ῥίψατε ὅπου με
(a)-thing not have carry-back me and throw(-me) where me
εὕρατε. ἐκεῖνοι δὲ οὐδὲ ἑκατὸν χρυσίνων ἡδέως ἂν
you-found they but not-even for-a-hundred gold-pieces gladly —
ἔλυον, ἀλλ᾽ ἤνυον τὸν σκοπὸν αὐτῶν.
would-have-loosed(-the-ship) but they-accomplished the aim their
οὕτως οὖν ἦν ἐν τῷ πλοίῳ καὶ εὑρέθησαν τρέφοντες
thus then he-was in the boat and they-were-found feeding
αὐτὸν ἕως Ῥώμης.
him until Rome
Ἐλθὼν οὖν ἐν τῇ Ῥώμῃ περιειργάζετο τίς εἴη μέγας
having-come then into — Rome he-inquired who might-be (a)-great
ἀσκητὴς ἢ ἀσκήτρια ἐν τῇ πόλει. ἐν οἷς περιέτυχε
ascetic or woman-ascetic in the city among whom he-met
καὶ Δομνίνῳ τινὶ μαθητῇ Ὠριγένους, οὗ ἡ κλίνη
also Domninus a-certain disciple of-Origen whose the bed
μετὰ θάνατον νοσοῦντας ἰάσατο. περιτυχὼν οὖν αὐτῷ καὶ
after death sick(-people) healed having-met then him and
ὠφεληθεὶς παρ᾽ αὐτοῦ, ἀνὴρ γὰρ ἦν τετορνευμένος
having-been-benefited by him (a)-man for he-was polished
ἔν τε ἤθει καὶ γνώσει, μαθὼν παρ᾽ αὐτοῦ τίς ἄλλος
in both character and knowledge having-learned from him who else
εἴη, ἀσκητὴς ἢ ἀσκήτρια, ἔγνω περὶ ἡσυχαζούσης
might-be ascetic or woman-ascetic he-knew about living-in-stillness
τινὸς παρθένου ἥτις οὐδενὶ συνετύγχανε. καὶ μαθὼν
a-certain virgin who with-no-one met and having-learned
ποῦ μένει ἀπῆλθε καὶ λέγει τῇ ὑπηρετούσῃ αὐτῇ
where she-stays he-went-away and says to-the serving her

γραΐδι· Εἶπον τῇ παρθένῳ ὅτι Ἀναγκαίως σοι ἔχω
old-woman tell the virgin that necessarily with-you I-have
συντυχεῖν, ὁ θεὸς γάρ με ἀπέστειλε. παραμείνας οὖν δύο
to-meet — God for me sent having-waited then two
ἢ τρεῖς ἡμέρας ὕστερον αὐτῇ συνέτυχε καὶ λέγει αὐτῇ·
or three days later her he-met and says to-her
Τί καθέζῃ; λέγει αὐτῷ· Οὐ καθέζομαι ἀλλὰ ὁδεύω. λέγει
why do-you-sit she-says to-him not I-sit but I-travel he-says
αὐτῇ· Ποῦ ὁδεύεις; λέγει αὐτῷ· Πρὸς τὸν θεόν. λέγει
to-her where do-you-travel she-says to-him to — God he-says
αὐτῇ· Ζῇς ἢ ἀπέθανες; λέγει αὐτῷ· Πιστεύω εἰς τὸν
to-her do-you-live or did-you-die she-says to-him I-believe in —
θεὸν ὅτι ἀπέθανον· ζῶν γὰρ σαρκί τις οὐ μὴ ὁδεύσῃ.
God that I-died living for in-flesh one not — will-travel
λέγει αὐτῇ· Οὐκοῦν ἵνα με πληροφορήσῃς ὅτι ἀπέθανες
he-says to-her well-then that me you-may-fully-assure that you-died
ποίησον ὃ ποιῶ. λέγει αὐτῷ· Δυνατά μοι ἐπίταξον
do what I-do she-says to-him possible(-things) to-me command
καὶ ποιῶ. ἀπεκρίνατο αὐτῇ· Νεκρῷ πάντα ἐστὶ
and I-do he-answered her for-(a)-dead(-person) all(-things) are
δυνατά, παρεκτὸς τοῦ ἀσεβῆσαι. τότε λέγει αὐτῇ· Ἔξελθε
possible except the to-be-impious then he-says to-her go-out
καὶ πρόελθε. ἀπεκρίνατο αὐτῷ ἐκείνη· Εἰκοστὸν πέμπτον
and come-forth answered him she twentieth fifth
ἔτος ἔχω καὶ οὐ προῆλθον· καὶ ἵνα τί προέλθω;
year I-have and not I-came-forth and for what should-I-come-forth
λέγει αὐτῇ· Εἰ ἀπέθανες τῷ κόσμῳ καί σοι ὁ κόσμος,
he-says to-her if you-died to-the world and to-you the world
ταὐτόν σοί ἐστι καὶ προελθεῖν καὶ μὴ προελθεῖν· πρόελθε
the-same to-you it-is both to-come-forth and not to-come-forth come-forth
οὖν. προῆλθε· καὶ μετὰ τὸ προελθεῖν αὐτὴν ἔξω καὶ
then she-came-forth and after the to-come-forth her outside and

ἐλθεῖν ἕως ἐκκλησίας τινὸς λέγει αὐτῇ ἐν τῇ ἐκκλησίᾳ·
to-come as-far-as church a-certain he-says to-her in the church
Οὐκοῦν εἰ θέλεις με πληροφορῆσαι ὅτι ἀπέθανες καὶ
well-then if you-wish me to-fully-assure that you-died and
οὐκέτι ζῇς ἀνθρώποις ἀρέσκουσα, ποίησον ὃ ποιῶ,
no-longer live to-men pleasing do what I-do
καὶ οἶδα ὅτι ἀπέθανες· ἐκδυσαμένη κατ᾽ ἐμὲ πάντα σου
and I-know that you-died having-stripped like me all your
τὰ ἱμάτια ἐπὶ τῶν ὤμων θὲς καὶ πάρελθε μέσην
the garments on the shoulders put(-them) and pass-through (the)-middle
τὴν πόλιν ἐμοῦ προλαμβάνοντος τῷ σχήματι τούτῳ.
the city me going-before in-the guise this
λέγει αὐτῷ ἐκείνη· Σκανδαλίζω πολλοὺς ἐπὶ τῷ ἀσχήμῳ
she-says to-him she I-scandalize many at the unseemliness
τοῦ πράγματος, καὶ ἔχουσι λέγειν ὅτι Ἐξέστη
of-the deed and they-have to-say that she-is-out-of-her-mind
καὶ δαιμονιῶσά ἐστιν. ἀπεκρίθη αὐτῇ· Καί σοι τί
and demon-possessed she-is he-answered her and to-you what
μέλει ἐὰν εἴπωσιν ὅτι Ἐξέστη καὶ δαιμονιῶσά
(is)-the-care if they-say that she-is-out-of-her-mind and demon-possessed
ἐστι; σὺ γὰρ αὐτοῖς ἀπέθανες. τότε λέγει αὐτῷ ἐκείνη·
she-is you for to-them died then she-says to-him she
Εἴ τι ἄλλο θέλεις ποιῶ· εἰς τοῦτο γὰρ τὸ μέτρον
if anything else you-wish I-do to this for the measure
οὐδὲ εὔχομαι ἐλθεῖν. τότε λέγει αὐτῇ· Ἴδε οὖν μηκέτι
not-even I-pray to-come then he-says to-her see then no-longer
μέγα φρόνει ἐπὶ σεαυτῇ ὡς πάντων εὐλαβεστέρα καὶ
great(-things) think on yourself as than-all more-pious and
ἀποθανοῦσα τῷ κόσμῳ· ἐγὼ γάρ σου νεκρότερός εἰμι,
having-died to-the world I for than-you more-dead am
καὶ ἔργῳ δείκνυμι ὅτι ἀπέθανον τῷ κόσμῳ· ἀπαθῶς
and by-deed I-show that I-died to-the world passionlessly

γὰρ καὶ ἀνεπαισχύντως τοῦτο ποιῶ. τότε καταλείψας
for and unashamedly this I-do then having-left
αὐτὴν ἐν ταπεινοφροσύνῃ καὶ κλάσας αὐτῆς τὸν τῦφον
her in humility and having-broken her the conceit
ἀνεχώρησε.
he-withdrew
Πολλὰ δέ ἐστι καὶ ἄλλα ἃ πεποίηκε θαυμαστὰ
many and are also other(-things) which he-did wonderful
πράγματα τὰ συντείνοντα εἰς ἀπάθειαν. οὗτος τελευτᾷ
deeds those tending to passionlessness this(-man) dies
ἑξηκοστὸν ἄγων ἔτος τῆς ἡλικίας, ἐν αὐτῇ τῇ Ῥώμῃ
sixtieth leading year of-the age in very — Rome
ταφείς.
having-been-buried

XI · EVAGRIUS, PIOR, AND EPHRAEM

Evagrius, ordained deacon by Gregory of Nazianzus, falls in love with a married woman at Constantinople and swears in a vision to leave the city; at Jerusalem, when the physicians fail in his long fever, Melania draws out its cause and binds him to the monastic life, and at Nitria and the Cells he lives by fasting, vigil, and discernment until his death. Pior leaves home for the desert and never again sees his family; made to visit his sister, he stands at her door with his eyes shut. He lives on bitter water and with a prayer brings water into a dry well. Ephraem of Edessa leaves his cell in a famine to feed the starving.

38 Τὰ κατὰ Εὐάγριον τὸν ἀοίδιμον διάκονον, ἄνδρα
the(-things) concerning Evagrius the celebrated deacon (a)-man
βεβιωκότα κατὰ τοὺς ἀποστόλους, οὐ δίκαιον ἡσυχάσαι,
having-lived according-to the apostles not (is)-right to-keep-silent
ἀλλὰ ταῦτα γραφῇ παραδοῦναι εἰς οἰκοδομὴν τῶν
but these(-things) to-writing to-hand-down for edification of-those

ἐντυγχανόντων καὶ δόξαν τῆς ἀγαθότητος τοῦ σωτῆρος
reading and glory of-the goodness of-the savior
ἡμῶν, ἄξιον ἡγησάμενος ἄνωθεν ἐκτιθέναι, πῶς τε ἦλθεν
our worthy having-deemed(-it) from-the-start to-set-out how both he-came
ἐπὶ τὸν σκοπόν, καὶ ὅπως αὐτὸν ἐξασκήσας ἀξίως τελευτᾷ
to the aim and how it having-practiced worthily he-dies
πεντήκοντα τεσσάρων ἐτῶν ἐν τῇ ἐρήμῳ, κατὰ τὸ
fifty four years-old in the desert according-to the(-thing)
γεγραμμένον· Ἐν ὀλίγῳ χρόνῳ ἐπλήρωσεν ἔτη πολλά.
written in little time he-fulfilled years many
Οὗτος τῷ μὲν γένει ἦν Ποντικὸς πόλεως Ἰβορῶν, υἱὸς
this(-man) by-the indeed race was Pontic of-(the)-city of-Ibora son
χωρεπισκόπου· ἀναγνώστης κεχειροτόνηται παρὰ τοῦ ἁγίου
of-(a)-country-bishop reader he-was-ordained by the holy
Βασιλείου τοῦ ἐπισκόπου τῆς ἐκκλησίας Καισαρέων. μετὰ
Basil the bishop of-the church of-Caesareans after
οὖν τὸν θάνατον τοῦ ἁγίου Βασιλείου προσχὼν αὐτοῦ
then the death of-the holy Basil having-attended-to his
τῇ ἐπιτηδειότητι ὁ σοφώτατος καὶ ἀπαθέστατος καὶ
the fitness the most-wise and most-passionless and
παιδείᾳ διαλάμπων Γρηγόριος ὁ Ναζιανζηνὸς ἐπίσκοπος
in-learning shining Gregory the Nazianzen bishop
προχειρίζεται διάκονον. ἐκεῖθεν ἐν τῇ μεγάλῃ συνόδῳ τῇ
promotes(-him) deacon thence in the great synod the(-one)
κατὰ Κωνσταντινούπολιν καταλιμπάνει αὐτὸν τῷ μακαρίῳ
at Constantinople he-leaves him to-the blessed
Νεκταρίῳ τῷ ἐπισκόπῳ διαλεκτικώτατον ὄντα κατὰ πασῶν
Nectarius the bishop most-skilled-in-argument being against all
τῶν αἱρέσεων. ἤνθει δὲ ἐν τῇ μεγάλῃ πόλει λόγοις
the heresies he-flourished and in the great city in-words
νεανιευόμενος κατὰ πάσης αἱρέσεως. συνέβη οὖν τοῦτον
being-youthfully-vigorous against every heresy it-happened then him

σφοδρῶς παρὰ πάσης τῆς πόλεως τιμώμενον, εἰδώλῳ
vehemently by all the city being-honored by-(an)-image
περιπαγῆναι γυναικικῆς ἐπιθυμίας, ὡς αὐτὸς ἡμῖν διηγήσατο.
to-be-entangled of-womanly desire as himself to-us related
ὕστερον ἐλευθερωθεὶς τὸ φρονοῦν, ἀντηράσθη τούτου
later having-been-freed the(-thing) minding loved-in-return this(-man)
πάλιν τὸ γύναιον· ἦν δὲ τῶν μεγιστάνων. ὁ οὖν Εὐάγριος
again the little-woman she-was and of-the magnates — then Evagrius
τὸν θεὸν φοβούμενος καὶ τὸ ἑαυτοῦ αἰδούμενος συνειδός, καὶ
— God fearing and the his-own revering conscience and
πρὸ ὀφθαλμῶν θέμενος τὸ μέγεθος τῆς αἰσχημοσύνης καὶ
before eyes having-set the greatness of-the shame and
τὸ ἐπιχαιρεσίκακον τῶν αἱρέσεων, ηὔξατο τὸν θεὸν ἱκετεύων
the rejoicing-at-evil of-the heresies he-prayed — God supplicating
ὅπως παρ᾽ αὐτοῦ ἐμποδισθῇ. τῆς οὖν γυναικὸς ἐπικειμένης
that by him he-might-be-hindered the then woman pressing
καὶ λυττώσης θέλων ἀναχωρῆσαι οὐκ ἴσχυε, δεσμοῖς τῆς
and raging wishing to-withdraw not he-was-able by-bonds of-the
θεραπείας ταύτης κατεχόμενος. μετ᾽ οὐ πολὺ δὲ τῆς εὐχῆς
courting this being-held after not long and the prayer
αὐτοῦ προκοψάσης πρὸ τῆς τοῦ πράγματος πείρας, ἐπέστη
his having-advanced before the of-the deed trial came-upon
αὐτῷ ἀγγελικὴ ὀπτασία ἐν σχήματι στρατιωτῶν τοῦ
him (an)-angelic vision in (the)-guise of-soldiers of-the
ὑπάρχου, καὶ ἁρπάζει αὐτὸν καὶ ἄγει ὡς ἐν δικαστηρίῳ
prefect and seizes him and leads(-him) as into (a)-court
καὶ βάλλει αὐτὸν εἰς τὴν λεγομένην κουστωδίαν, κλοιοῖς
and throws him into the called custody with-collars
σιδηροῖς καὶ ἁλύσεσιν αὐχένα καὶ χεῖρας καταδησάντων,
iron and chains (the)-neck and hands having-bound
τῶν ἐπ᾽ αὐτὸν ἐλθόντων δῆθεν τὴν αἰτίαν οὐ λεγόντων.
those upon him having-come supposedly the cause not stating

αὐτὸς δὲ τῇ συνειδήσει ᾔδει ὅτι χάριν ταύτης ὑφίσταται
he and in-the conscience knew that for-the-sake of-her he-undergoes
ταῦτα, προσδοκήσας τὸν ἄνδρα αὐτῆς ἐντετυχηκέναι. ἐν
these(-things) having-supposed the husband her to-have-petitioned in
τῷ οὖν λίαν αὐτὸν ἀγωνιᾶν ἄλλης δίκης πραττομένης
the then very him to-be-in-agony another trial being-conducted
καὶ βασανιζομένων ἑτέρων ἐπὶ ἐγκλήματι, ἔμενε σφόδρα
and being-tortured others on (a)-charge he-remained greatly
ἀγωνιῶν. μετασχηματίζεται δὲ ὁ ἄγγελος ὁ τὴν
in-agony is-transformed and the angel the(-one) the
ὀπτασίαν παρασχὼν εἰς παρουσίαν γνησίου φίλου,
vision having-provided into (the)-appearance of-(a)-genuine friend
καὶ λέγει αὐτῷ δεδεμένῳ μεταξὺ σειρᾶς τεσσαράκοντα
and says to-him bound among (a)-chain of-forty
καταδίκων· Τίνος ἕνεκεν κατέχῃ ἐνταῦθα, κῦρι διάκονε;
condemned(-men) for-what for-the-sake are-you-held here lord deacon
λέγει αὐτῷ· Κατὰ μὲν ἀλήθειαν οὐκ ἐπίσταμαι, ὑπόνοια
he-says to-him according-to indeed truth not I-know suspicion
δέ με ἔχει ὅτι ὁ δεῖνα ὁ ἀπὸ ὑπάρχων ἐνέτυχε
but me has that the so-and-so the(-one) from prefects petitioned
κατ᾽ ἐμοῦ ἀλόγῳ ζηλοτυπίᾳ πληγείς· καὶ δέδοικα μήποτε
against me by-irrational jealousy struck and I-fear lest
χρήμασιν ὁ ἄρχων διαφθαρεὶς τιμωρίᾳ με ὑποβάλλῃ.
by-money the magistrate corrupted to-punishment me subject
λέγει αὐτῷ· Εἰ ἀκούεις τοῦ φίλου σου, οὐ συμφέρει σοι
he-says to-him if you-listen-to the friend your not it-is-expedient for-you
ἐν τῇ πόλει ταύτῃ διάγειν. λέγει αὐτῷ ὁ Εὐάγριος· Ἐὰν
in the city this to-live he-says to-him — Evagrius if
ὁ θεός με ταύτης τῆς συμφορᾶς ἀπαλλάξῃ καὶ ἴδῃς με ἐν
— God me from-this the calamity release and you-see me in
Κωνσταντινουπόλει, γνῶθι ὅτι εὐλόγως ὑφίσταμαι ταύτην
Constantinople know that reasonably I-undergo this

τὴν τιμωρίαν. λέγει αὐτῷ ἐκεῖνος· Φέρω τὸ εὐαγγέλιον
the punishment he-says to-him he I-bring the gospel
καὶ ὄμοσόν μοι ἐν αὐτῷ ὅτι ἀναχωρεῖς τῆς πόλεως
and swear to-me on it that you-withdraw from-the city
ταύτης καὶ φροντίζεις σου τῆς ψυχῆς, καὶ ἀπαλλάττω
this and care-for your the soul and I-release
σε τῆς ἀνάγκης ταύτης. ἤνεγκεν οὖν τὸ εὐαγγέλιον καὶ
you from-the necessity this he-brought then the gospel and
ὤμοσεν αὐτῷ κατὰ τοῦ εὐαγγελίου ὅτι Παρεκτὸς μιᾶς
he-swore to-him on the gospel that except one
ἡμέρας, ἵνα φθάσω ἐμβαλεῖν εἰς τὸ πλοῖον τὰ ἱμάτιά
day that I-may-manage to-put into the boat the garments
μου, οὐ μὴ παραμείνω. τοῦ ὅρκου οὖν προχωρήσαντος
my not — I-will-remain the oath then having-proceeded
ἐπανῆλθεν ἀπὸ τῆς ἐκστάσεως τῆς γενομένης αὐτῷ ἐν
he-came-back from the ecstasy the(-one) having-happened to-him in
τῇ νυκτί· καὶ ἀναστὰς ἐλογίσατο ὅτι Εἰ καὶ ἐν ἐκστάσει
the night and having-risen he-reasoned that if even in ecstasy
γέγονεν ὁ ὅρκος ἀλλ' ὅμως ὤμοσα. βαλὼν οὖν πάντα
happened the oath but nevertheless I-swore having-put then all
τὰ αὐτοῦ εἰς πλοῖον ἔρχεται εἰς Ἱεροσόλυμα.
the(-things) his into (a)-boat he-comes to Jerusalem
Κἀκεῖ δεξιοῦται παρὰ τῆς μακαρίας Μελανίας τῆς
and-there he-is-welcomed by the blessed Melania the
Ῥωμαίας. πάλιν δὲ τοῦ διαβόλου σκληρύναντος αὐτοῦ τὴν
Roman again and the devil having-hardened his the
καρδίαν καθάπερ τοῦ Φαραώ, ὡς νέῳ καὶ σφριγῶντι
heart as — of-Pharaoh as to-(one)-young and being-lusty
τὴν ἡλικίαν γέγονεν ἐνδυασμός τις καὶ ἐδιψύχησε
in-the age there-came double-mindedness a-certain and he-wavered
μηδενὶ μηδὲν εἰρηκώς, κἀκεῖσε πάλιν ἐξαλλάσσων τοῖς
to-no-one anything having-said and-there again changing the

ἱματίοις καὶ ἐν τῇ διαλέκτῳ ἐκάρου αὐτὸν ἡ κενοδοξία. ὁ
garments and in the speech stupefied him the vainglory the
δὲ ἐμποδιστὴς τῆς πάντων ἡμῶν ἀπωλείας θεὸς ἐνέβαλεν
but hinderer of-the of-all our destruction God threw
αὐτὸν εἰς περίστασιν πυρετοῦ, κἀκεῖθεν εἰς νόσον
him into (a)-crisis of-fever and-from-there into (a)-sickness
μακρὰν ἑξαμηνιαίῳ χρόνῳ ταριχεύσας αὐτοῦ τὸ σαρκίον,
long six-month for-time having-dried-up his the little-flesh
δι᾽ οὗ ἐνεποδίζετο. τῶν ἰατρῶν δὲ ἀπορούντων καὶ
through which he-was-hindered the physicians and being-at-a-loss and
τρόπον θεραπείας μὴ εὑρισκόντων, λέγει αὐτῷ ἡ μακαρία
(a)-way of-treatment not finding says to-him the blessed
Μελανία· Οὐκ ἀρέσκει μοι, υἱέ, ἡ σὴ μακρονοσία. εἰπὲ οὖν
Melania not pleases me son the your long-sickness tell then
μοι τὰ ἐν τῇ διανοίᾳ σου. οὐκ ἔστι γὰρ ἀθεής σου ἡ
me the(-things) in the mind your not is for godless your the
νόσος αὕτη. τότε ὡμολόγησεν αὐτῇ τὸ πρᾶγμα σύμπαν. ἡ
sickness this then he-confessed to-her the matter whole she
δὲ λέγει αὐτῷ· Δός μοι λόγον ἐπὶ κυρίου, ὅτι ἔχῃ
and says to-him give me (your)-word before (the)-Lord that you-hold-to
τοῦ σκοποῦ τοῦ μονήρους βίου· καὶ εἰ καὶ ἁμαρτωλὴ
the aim of-the solitary life and if even (a)-sinner
τυγχάνω, προσεύχομαι ἵνα δοθῇ σοι †κομίατος ζωῆς.†
I-happen-to-be I-pray that may-be-given to-you respite of-life
ὁ δὲ συνέθετο. ἐντὸς οὖν ὀλίγων ἡμερῶν ὑγίανε· καὶ
he and agreed within then few days he-became-healthy and
ἀναστὰς παρ᾽ αὐτῆς ἐκείνης μετημφιάσθη, καὶ ἐξέρχεται
having-risen from her herself he-changed-clothes and goes-out
ἐκδημήσας εἰς τὸ ὄρος τῆς Νιτρίας τὸ ἐν Αἰγύπτῳ.
having-gone-abroad to the mountain — of-Nitria the(-one) in Egypt

Ἐν ᾧ οἰκήσας δεύτερον ἔτος τὸ τρίτον εἰσβάλλει εἰς τὴν
in which having-dwelt (the)-second year the third he-goes into the
ἔρημον. ζήσας οὖν δεκατέσσαρα ἔτη ἐν τοῖς λεγομένοις
desert having-lived then fourteen years in the called
Κελλίοις ἤσθιε μὲν λίτραν ἄρτου, ἐν τριμηνιαίῳ δὲ
Cells he-ate indeed (a)-pound of-bread in three-months and
ξέστην ἐλαίου, ἀνὴρ ἀπὸ ἁβροτάτου καὶ τρυφηλοῦ βίου
(a)-pint of-oil (a)-man from most-delicate and luxurious life
καὶ ὑγροτάτου ἠγμένος. ἐποίει δὲ εὐχὰς ἑκατόν, γράφων
and most-soft having-been-led he-made and prayers hundred writing
τοῦ ἔτους τὴν τιμὴν μόνον ὧν ἤσθιεν· εὐφυῶς γὰρ
of-the year the price only of-what(-things) he-ate gracefully for
ἔγραφε τὸν ὀξύρυγχον χαρακτῆρα. ἐντὸς οὖν δεκαπέντε ἐτῶν
he-wrote the sharp-pointed character within then fifteen years
καθαρεύσας εἰς ἄκρον τὸν νοῦν κατηξιώθη χαρίσματος
having-purified to (the)-height the mind he-was-deemed-worthy of-(the)-gift
γνώσεως καὶ σοφίας καὶ διακρίσεως πνευμάτων. συντάττει
of-knowledge and wisdom and discernment of-spirits composes
οὖν οὗτος τρία βιβλία ἱερὰ μοναχῶν ἀντιρρητικὰ οὕτω
then this(-man) three books sacred of-monks antirrhetic so
λεγόμενα, πρὸς τοὺς δαίμονας ὑποτιθέμενος τέχνας. τούτῳ
called against the demons suggesting arts this(-man)
ὤχλησεν εἰς βάρος ὁ τῆς πορνείας δαίμων, ὡς καὶ
troubled to (a)-burden the of-the fornication demon as also
αὐτὸς ἡμῖν διηγεῖτο· καὶ διὰ πάσης νυκτὸς γυμνὸς ἔστη
himself to-us related and through all (the)-night naked he-stood
ἐν τῷ φρέατι χειμῶνος ὄντος, ὡς καὶ παγῆναι αὐτοῦ
in the well winter being so-that also to-freeze his
τὰς σάρκας. ἄλλοτε πάλιν ὤχλησεν αὐτῷ πνεῦμα
the flesh at-another-time again troubled him (a)-spirit
βλασφημίας· καὶ ἐν τεσσαράκοντα ἡμέραις ὑπὸ στέγην
of-blasphemy and in forty days under (a)-roof

οὐκ εἰσῆλθεν, ὡς αὐτὸς ἡμῖν διηγήσατο, ὡς καὶ τὸ σῶμα
not he-went as himself to-us related so-that also the body
αὐτοῦ καθάπερ τῶν ἀλόγων ζῴων κρότωνας ἐκβράσαι.
his like of-the irrational animals ticks to-throw-out
τούτῳ τρεῖς ἐπέστησαν ἐν ἡμέρᾳ δαίμονες ἐν σχήματι
to-this(-man) three came-upon in (the)-day demons in (the)-guise
κληρικῶν περὶ πίστεως συζητοῦντες· καὶ ὁ μὲν
of-clerics about faith disputing and the(-one) indeed
ἔλεγεν ἑαυτὸν Ἀρειανόν, ὁ δὲ Εὐνομιανόν, ὁ δὲ
said himself (an)-Arian the(-other) and (a)-Eunomian the(-other) and
Ἀπολιναριανόν· καὶ τούτων περιεγένετο τῇ σοφίᾳ αὐτοῦ
(an)-Apollinarian and these he-overcame by-the wisdom his
διὰ βραχέων λόγων. πάλιν μιᾶς τῶν ἡμερῶν τῆς κλειδὸς
through brief words again on-one of-the days the key
ἀπολομένης τῆς ἐκκλησίας, σφραγίσας τὸ πρόσωπον τοῦ
having-been-lost of-the church having-sealed the face of-the
ἡλωταρίου καὶ τῇ χειρὶ ὥσας ἤνοιξεν, ἐπικαλεσάμενος
lock and with-the hand having-pushed he-opened having-invoked
τὸν Χριστόν. τοσαῦτα ἐμαστιγώθη οὗτος ὑπὸ δαιμόνων
— Christ so-much was-scourged this(-man) by demons
καὶ τοσαύτην ἔλαβε πεῖραν δαιμόνων ὧν ἀριθμὸς οὐκ
and such he-took experience of-demons of-which number not
ἔστιν. ἑνὶ δὲ τῶν ἑαυτοῦ μαθητῶν τὰ μετὰ δεκαοκτὼ
is to-one and of-the his-own disciples the(-things) after eighteen
ἔτη συμβησόμενα αὐτῷ εἶπε, πάντα κατ᾽ εἶδος προφητεύσας
years about-to-happen to-him he-told all in form having-prophesied
αὐτῷ. ἔλεγε δὲ ὅτι Ἀφ᾽ οὗ κατέλαβον τὴν ἔρημον οὐ
to-him he-said and that from which I-reached the desert not
θριδακίου ἡψάμην, οὐχ ἑτέρου λαχάνου τινὸς χλωροῦ, οὐκ
lettuce I-touched not other vegetable any green not
ὀπώρας, οὐ σταφυλῆς, οὐ κρεῶν, οὐ λουτροῦ. ἐς ὕστερον
fruit not grape not meat not bath at later

δὲ τῷ ἑξκαιδεκάτῳ ἔτει τῆς πολιτείας τῆς ἄνευ ἐψήματος,
and in-the sixteenth year of-the way-of-life the without cooked(-food)
χρείαν ἐχούσης αὐτοῦ τῆς σαρκὸς διὰ τὴν ἀσθένειαν
need having his the flesh because-of the weakness
τοῦ στομάχου τοῦ μεταλαμβάνειν διὰ πυρός, ἄρτου μὲν
of-the stomach of-the to-partake through fire bread indeed
ἥψατο οὐκέτι, λαχάνων δὲ μεταλαμβάνων ἢ πτισάνης ἢ
he-touched no-longer vegetables but partaking or barley-gruel or
ὀσπριδίων ἐπὶ δύο ἔτη, ἐν αὐτοῖς τελευτᾷ, κοινωνήσας
pulses for two years in these he-dies having-communicated
εἰς τὰ Ἐπιφάνια εἰς τὴν ἐκκλησίαν. ἀφηγεῖτο οὖν ἡμῖν
at the Epiphany in the church he-related then to-us
περὶ τὸν θάνατον ὅτι Τρίτον ἔτος ἔχω μὴ ὀχλούμενος
around the death that (the)-third year I-have not being-troubled
ὑπὸ ἐπιθυμίας σαρκικῆς, — μετὰ τοσοῦτον βίον καὶ κόπον
by desire fleshly after such (a)-life and toil
καὶ πόνον καὶ προσευχὴν ἀδιάλειπτον. τούτῳ ἐμηνύθη
and labor and prayer unceasing to-this(-man) was-reported
ἡ τελευτὴ τοῦ πατρὸς καὶ λέγει τῷ ἀναγγείλαντι·
the death of-the father and he-says to-the(-one) having-reported(-it)
Παῦσαι βλασφημῶν· ὁ γὰρ ἐμὸς πατὴρ ἀθάνατός ἐστιν.
stop blaspheming the for my father immortal is
39 Πίωρ τις Αἰγύπτιος νέος ἀποταξάμενος ἐξῆλθε τοῦ
Pior a-certain Egyptian young having-renounced went-out from-the
οἴκου τοῦ πατρικοῦ, καὶ λόγον ἔδωκε τῷ θεῷ δι᾽
house the paternal and (his)-word gave — to-God because-of
ὑπερβολὴν ζήλου μηκέτι ἰδεῖν τινὰ τῶν ἰδίων. μετὰ
excess of-zeal no-longer to-see any of-the own after
οὖν πεντήκοντα ἔτη ἡ ἀδελφὴ τούτου γηράσασα καὶ
then fifty years the sister of-this(-man) having-grown-old and
ἀκούσασα ὅτι ζῇ, εἰς ἔκστασιν ἤλαυνεν ἐὰν μὴ αὐτὸν
having-heard that he-lives into frenzy she-was-driving unless — him

ἴδῃ. ἐλθεῖν δὲ μὴ δυναμένη ἐν τῇ πανερήμῳ, ἱκέτευσε τὸν
she-see to-come but not being-able into the utter-desert she-besought the
κατὰ τὸν τόπον ἐπίσκοπον γράψαι τοῖς πατράσι τοῖς ἐν τῇ
in the place bishop to-write to-the fathers those in the
ἐρήμῳ, ἵνα αὐτὸν ἀποστείλωσι καὶ ἴδῃ αὐτόν. βίας οὖν
desert that him they-might-send and she-might-see him force then
αὐτῷ πολλῆς περιτεθείσης ἔδοξεν ἄλλον ἕνα παραλαβεῖν
on-him much having-been-put it-seemed-good another one to-take-along
καὶ ὑπάγειν. καὶ ἐσήμανεν ἐν τῷ οἴκῳ τῆς ἀδελφῆς ὅτι Ὁ
and to-go and he-signaled in the house of-the sister that the
ἀδελφός σου Πίωρ παρεγένετο. στὰς οὖν ἔξω καὶ τοῦ
brother your Pior has-arrived having-stood then outside and the
ψόφου τῆς θύρας αἰσθόμενος ὅτι ἐξῆλθεν εἰς συνάντησιν ἡ
noise of-the door having-perceived that went-out to meeting the
γραῦς, καμμύσας τοὺς ὀφθαλμοὺς ἐβόησεν πρὸς αὐτήν· Ἡ
old-woman having-shut the eyes he-shouted to her the
δεῖνα, ἡ δεῖνα, ἐγώ εἰμι Πίωρ ὁ ἀδελφός σου, ἐγώ εἰμι·
so-and-so the so-and-so I am Pior the brother your I am
βλέπε με ὅσον θέλεις. πληροφορηθεῖσα οὖν ἐκείνη καὶ
look-at me as-much-as you-wish having-been-fully-assured then she and
δοξάσασα τὸν θεόν, καὶ μὴ πείσασα αὐτὸν εἰσελθεῖν εἰς
having-glorified — God and not having-persuaded him to-enter into
τὸν οἶκον αὐτῆς, ὑπέστρεψεν εἰς τὴν ἰδίαν οἰκίαν· ὁ δὲ εὐχὴν
the house her she-returned to the own house he but prayer
ποιήσας εἰς τὰς φλιὰς ἀπεδήμησε πάλιν ἐν τῇ ἐρήμῳ.
having-made at the door-posts went-away again into the desert
Τοῦτο δὲ αὐτοῦ τὸ θαῦμα φέρεται, ὅτι εἰς τὸν τόπον ὃν
this and his the wonder is-reported that in the place which
ᾤκησεν ὀρύξας εὗρεν ὕδωρ πικρότατον· καὶ μέχρις οὗ
he-inhabited having-dug he-found water most-bitter and until —
ἐτελεύτησεν ἐκεῖ παρέμεινε, στοιχήσας τῇ πικρότητι
he-died there he-remained having-kept-in-step with-the bitterness

τοῦ ὕδατος ἵνα δείξῃ τὴν ἑαυτοῦ ὑπομονήν. πολλοὶ οὖν
of-the water that he-might-show the his-own endurance many then
τῶν μοναχῶν μετὰ τὸν θάνατον αὐτοῦ φιλονεικήσαντες
of-the monks after the death his having-contended
μεῖναι ἐν τῷ κελλίῳ αὐτοῦ ἐνιαυτὸν οὐκ ἴσχυσαν
to-remain in the cell his (a)-year not were-able
ἐκτελέσαι· ἔστι γὰρ φοβερὸς ὁ τόπος καὶ ἀπαράκλητος.
to-complete is for fearful the place and comfortless
Μωσῆς ὁ Λίβυς, ἀνὴρ πραότατος λίαν καὶ ἀγαπητικώτατος,
Moses the Libyan (a)-man most-meek very and most-loving
κατηξιώθη χαρίσματος ἰαμάτων. οὗτός μοι διηγήσατο
was-deemed-worthy of-(the)-gift of-healings this(-man) to-me related
ὅτι Ἐν τῷ μοναστηρίῳ ὢν νέος φρέαρ ὠρύξαμεν μέγιστον,
that in the monastery being young (a)-well we-dug very-great
εἴκοσι ποδῶν πλάτος· ἐν τούτῳ τρεῖς ἡμέρας ἐκχοΐσαντες
of-twenty feet width in this three days having-dug-out
ἄνδρες ὀγδοήκοντα καὶ τὴν συνήθη καὶ ὕποπτον φλέβα
men eighty and the usual and suspected vein
παρελθόντες ὡς πῆχυν, οὐχ εὕρομεν ὕδωρ. πάνυ οὖν
having-passed about (a)-cubit not we-found water very then
λυπηθέντες ἐσκεπτόμεθα ἀναχωρῆσαι τοῦ ἔργου· καὶ
having-been-grieved we-considered to-withdraw from-the work and
ἐπιστὰς ὁ Πίωρ ἐκ τῆς πανερήμου ἐν αὐτῇ
having-come-upon(-us) — Pior from the utter-desert in very
τῇ ἕκτῃ τοῦ καύματος, γέρων περιβεβλημένος τὴν
the sixth(-hour) of-the heat old-man clothed-in the
μηλωτήν, ἠσπάσατο ἡμᾶς καὶ λέγει μετὰ τὸν ἀσπασμόν·
sheepskin greeted us and says after the greeting
Τί ἐμικροψυχήσατε, ὀλιγόπιστοι; ἑώρακα γὰρ ὑμᾶς ἀπὸ
why did-you-lose-heart little-faiths I-have-seen for you from
ἐχθὲς μικροψυχοῦντας. καὶ κατελθὼν ἐν τῇ κλίμακι εἰς
yesterday losing-heart and having-gone-down on the ladder into

τὸ ὄρυγμα τοῦ φρέατος ποιεῖ εὐχὴν σὺν αὐτοῖς· καὶ
the pit of-the well he-makes (a)-prayer with them and
λαβὼν τὸν ὄρυγα λέγει κατενεγκὼν τρίτην πληγήν·
having-taken the pickaxe he-says having-brought-down (a)-third blow
Ὁ θεὸς τῶν ἁγίων πατριαρχῶν, μὴ ἀχρειώσῃς τὸν
— God of-the holy patriarchs not make-useless the
πόνον τῶν δούλων σου, ἀλλὰ ἀπόστειλον αὐτοῖς τὴν
toil of-the servants your but send to-them the
τῶν ὑδάτων χρείαν. καὶ παραχρῆμα ἐξεπήδησεν ὕδωρ
of-the waters need and at-once leapt-out water
ὡς ῥαντισθῆναι ὅλους. πάλιν οὖν προσευξάμενος ᾤχετο.
so-that to-be-sprinkled all again then having-prayed he-departed
ἀναγκαζόντων οὖν αὐτὸν φαγεῖν οὐκ ἠνέσχετο εἰπών· Δι᾽
(them)-compelling then him to-eat not he-endured having-said for
ὃ ἀπεστάλην ἠνύσθη· δι᾽ ἐκεῖνο δὲ οὐκ ἀπεστάλην.
which I-was-sent has-been-accomplished for that but not I-was-sent
Τὰ κατὰ Ἐφραὶμ τὸν διάκονον τῆς Ἐδεσηνῶν 40
the(-things) concerning Ephraem the deacon of-the of-Edessenes
ἐκκλησίας πάντως ἀκήκοας· γέγονε γὰρ εἷς τῶν
church surely you-have-heard he-was for one of-those
μνημονεύεσθαι ἀξίων παρὰ τῶν ὁσίων. οὗτος ἀξίως τὴν
to-be-remembered worthy by the holy this(-man) worthily the
τοῦ πνεύματος ὁδὸν ἐξανύσας καὶ μὴ ἐκτραπεὶς τῆς
of-the spirit road having-completed and not having-turned-aside from-the
εὐθείας κατηξιώθη χαρίσματος γνώσεως φυσικῆς, ἣν
straight(-way) was-deemed-worthy of-(the)-gift of-knowledge natural which
διαδέχεται θεολογία καὶ ἐσχάτη μακαριότης. τὸν ἥσυχον
succeeds theology and last blessedness the quiet
οὖν ἀεὶ ἐξασκήσας βίον καὶ τοὺς παρατυγχάνοντας
then always having-practiced life and those chancing-by
οἰκοδομῶν ἐπὶ ἔτη ἱκανά, ἐς ὕστερον προῆλθε τῆς
edifying for years sufficient at later he-came-forth from-the

κέλλης ἐξ αἰτίας τοιᾶσδε· λιμοῦ καταλαβόντος μεγάλου
cell from cause such-as-this famine having-seized great
τὴν Ἐδεσηνῶν πόλιν κατοικτειρήσας πᾶσαν τὴν ἀγροικίαν
the of-Edessenes city having-pitied all the countryside
διαφθειρομένην προσῆλθε τοῖς ἁδροῖς ἐν ὕλῃ καὶ λέγει
being-destroyed he-approached the rich in goods and says
αὐτοῖς· Τίνος ἕνεκεν οὐκ ἐλεᾶτε τὴν ἀνθρωπίνην φύσιν
to-them for-what for-the-sake not do-you-pity the human nature
διαφθειρομένην, ἀλλὰ τὸν πλοῦτον ὑμῶν σήπετε εἰς
being-destroyed but the wealth your you-let-rot for
κατάκριμα τῶν ψυχῶν ὑμῶν; σκεψάμενοι οὖν λέγουσιν
condemnation of-the souls your having-considered then they-say
αὐτῷ ὅτι Οὐκ ἔχομεν τίνι πιστεύσομεν πρὸς τὸ
to-him that not we-have to-whom we-will-entrust for the
διακονῆσαι τοῖς λιμώττουσι· πάντες γὰρ καπηλεύουσι τὰ
to-serve the starving all for make-trade-of the
πράγματα. λέγει αὐτοῖς· Τί ὑμῖν δοκῶ ἐγώ; εἶχε δὲ
affairs he-says to-them what to-you do-I-seem I he-had and
μεγάλην ὑπόληψιν παρὰ πᾶσιν, οὐ ψευδῶς ἀλλ' ἀληθῶς.
great reputation with all not falsely but truly
λέγουσιν αὐτῷ· Ἄνθρωπόν σε οἴδαμεν θεοῦ. Οὐκοῦν ἐμοί,
they-say to-him (a)-man you we-know of-God well-then to-me
φησίν, ἐμπιστεύσατε· ἰδοὺ δι' ὑμᾶς χειροτονῶ ἐμαυτὸν
he-says entrust(-it) behold for you I-appoint myself
ξενοδόχον. καὶ λαβὼν ἀργύρια καὶ διαφράξας τοὺς
guest-master and having-taken silver and having-fenced-off the
ἐμβόλους καὶ στήσας κλίνας ὡς τριακοσίας ἐνοσοκόμει
porticoes and having-set-up beds about three-hundred he-nursed
τοὺς λιμώττοντας, τοὺς μὲν ἐκλιμπάνοντας θάπτων, τοὺς
the starving those indeed failing burying those
δὲ ἐλπίδα ἔχοντας ζωῆς νοσοκομῶν, καὶ ἁπλῶς πᾶσι
and hope having of-life nursing and simply to-all

τοῖς ἐπιχωριάζουσι τοῦ λιμοῦ ἕνεκεν ξενοδοχίαν καὶ
those coming-in-from-the-country of-the famine for-the-sake hospitality and
ὑπηρεσίαν καθ᾽ ἡμέραν παρέχων ἐκ τῶν χορηγουμένων
service each day providing from the(-things) supplied
αὐτῷ. πληρωθέντος οὖν τοῦ ἐνιαυτοῦ καὶ διαδεξαμένης
to-him having-been-completed then the year and having-succeeded
τῆς εὐθηνίας καὶ πάντων οἴκοι πορευομένων, μηκέτι ἔχων
the plenty and all homeward going no-longer having
ὃ πράξει εἰσῆλθεν εἰς τὴν ἑαυτοῦ κέλλαν καὶ ἐτελεύτησε
what he-might-do he-went into the his-own cell and died
μετὰ μῆνα, τοῦ θεοῦ παρασχόντος αὐτῷ τὴν ἀφορμὴν
after (a)-month — God having-provided to-him the occasion
ταύτην στεφάνου τρόπον εἰς τὰ ἔσχατα αὐτοῦ. κατέλιπε
this of-crown by-way at the last his he-left
δὲ καὶ συντάγματα ὧν τὰ πλεῖστα σπουδῆς ἄξια.
and also writings of-which the most of-zeal worthy

XII · HOLY WOMEN AND MEN

Palladius turns to the manly women to whom God gave contests equal to men's. He tells of Julian of Edessa, worn to skin and bone; Adolius of Tarsus, who kept vigil through whole nights on the Mount of Olives; Innocent, a former courtier, who prayed his sinful son into the hands of a demon; and Philoromus of Galatia, who stood up to Julian the Apostate and walked to Rome and Jerusalem. He tells how the elder Melania, widowed at twenty-two, sailed to Egypt, fed the exiled confessors of Nitria, and founded a monastery in Jerusalem.

Ἀναγκαῖον δέ ἐστι καὶ γυναικῶν ἀνδρείων μνημονεῦσαι ἐν 41
necessary and it-is also of-women manly to-make-mention in
τῷ βιβλίῳ, αἷς καὶ ὁ θεὸς τὰ ἴσα τοῖς ἀνδράσι τῶν
the book to-whom also — God the equal to-the men of-the

ἄθλων ἐχαρίσατο, ὑπὲρ τοῦ μὴ προφασίζεσθαι αὐτὰς ὡς
contests granted for the not to-plead-as-excuse them as
ἀσθενεστέρας οὔσας πρὸς κατόρθωσιν τῆς ἀρετῆς. πολλὰς
weaker being for (the)-accomplishment of-the virtue many
μὲν οὖν ἑώρακα, καὶ πολλαῖς ἀστείαις συντετύχηκα
indeed then I-have-seen and with-many refined I-have-met
παρθένοις τε καὶ χήραις· ἐν αἷς καὶ Παύλῃ τῇ Ῥωμαίᾳ
virgins both and widows among whom also Paula the Roman
τῇ μητρὶ Τοξοτίου, γυναικὶ εἰς τὴν πνευματικὴν πολιτείαν
the mother of-Toxotius (a)-woman in the spiritual way-of-life
ἀστειοτάτῃ· ἧς ἐμπόδιον γέγονεν Ἱερώνυμός τις
most-refined to-whom (a)-hindrance became Jerome a-certain
ἀπὸ Δαλματίας· δυναμένην γὰρ αὐτὴν ὑπερπτῆναι πασῶν,
from Dalmatia being-able for her to-overfly all
εὐφυεστάτη οὖσα, προσενεπόδισε τῇ ἑαυτοῦ βασκανίᾳ
most-gifted being he-further-hindered by-the his-own envy
ἑλκύσας αὐτὴν πρὸς τὸν ἴδιον αὐτοῦ σκοπόν. ἧς θυγάτηρ
having-drawn her to the own his aim whose daughter
ἐστί, καὶ νῦν ἀσκεῖται, Εὐστόχιον ὀνόματι ἐν Βηθλεέμ·
is also now practices-discipline Eustochium by-name in Bethlehem
ἧς ἐγὼ ἐν συντυχίᾳ οὐ γέγονα, λέγεται δὲ σφόδρα εἶναι
whom I in meeting not was it-is-said and greatly to-be
σωφρονεστάτη, συνοδίαν ἔχουσα πεντήκοντα παρθένων.
most-temperate (a)-community having of-fifty virgins
Ἔγνων δὲ καὶ Βενερίαν τὴν Βαλλοβίκου τοῦ κόμητος,
I-knew and also Veneria the(-wife) of-Vallovicus the count
καλῶς διασκορπίσασαν τὸ τῆς καμήλου φορτίον, καὶ
well having-scattered the of-the camel burden and
ἀπαλλαγεῖσαν τῶν ἐκ τῆς ὕλης τραυμάτων· καὶ
having-been-freed from-the from the matter wounds and
Θεοδώραν τὴν τοῦ τριβούνου, τὴν ἐπὶ τοσοῦτον
Theodora the(-wife) of-the tribune the(-one) to so-far

ἀκτημοσύνης ἐλάσασαν ὡς ἐλεημοσύνην λαβοῦσαν οὕτω
of-poverty having-driven that alms having-received thus
τελευτῆσαι ἐν τῷ μοναστηρίῳ τοῦ Ἡσυχᾶ παρὰ θάλατταν.
to-die in the monastery — of-Hesychas by (the)-sea
ἔγνων Ὁσίαν ὀνόματι, τὰ ὅλα καὶ σεμνοτάτην
I-knew Hosia by-name the whole(-things) and most-august
γυναῖκα· καὶ τὴν ταύτης ἀδελφὴν Ἀδολίαν, οὐκ ἀξίως μὲν
(a)-woman and the her sister Adolia not worthily indeed
ταύτης, ἐπαξίως δὲ τῆς δυνάμεως ἑαυτῆς ζήσασαν. ἔγνων
of-her worthily but of-the power her-own having-lived I-knew
ἐγὼ καὶ Βασιανίλλαν, τὴν Κανδιδιανοῦ τοῦ στρατηλάτου,
I also Basianilla the(-wife) of-Candidianus the general
προθύμως καὶ εὐλαβῶς τὴν ἀρετὴν ἐξασκήσασαν, καὶ
eagerly and piously the virtue having-practiced and
ἐχομένην εἰσέτι καὶ νῦν τῶν ἀγώνων σφοδρῶς· καὶ Φωτεινὴν
holding-to still also now the contests vehemently and Photeine
παρθένον σεμνοτάτην εἰς ἄκρον, θυγατέρα Θεοκτίστου τοῦ
(a)-virgin most-august to (the)-height daughter of-Theoctistus the
πρεσβυτέρου τοῦ κατὰ Λαοδίκειαν. συνέτυχον δὲ καὶ ἐν
presbyter the(-one) at Laodicea I-met and also in
Ἀντιοχείᾳ σεμνοτάτῃ γυναικὶ καὶ τῷ θεῷ προσομιλούσῃ,
Antioch most-august (a)-woman and — with-God conversing
τῇ διακονίσσῃ Σαβινιανῇ, θείᾳ Ἰωάννου τοῦ ἐπισκόπου
the deaconess Sabiniana aunt of-John the bishop
Κωνσταντινουπόλεως. εἶδον δὲ καὶ ἐν Ῥώμῃ τὴν καλὴν
of-Constantinople I-saw and also in Rome the noble
Ἀσέλλαν τὴν παρθένον γεγηρακυῖαν ἐν τῷ μοναστηρίῳ,
Asella the virgin grown-old in the monastery
σφόδρα πραϋτάτην γυναῖκα καὶ ἀνεχομένην συνοδίας. ἐν
very most-gentle woman and bearing-with (a)-community among
οἷς ἐθεασάμην ἄνδρας τε καὶ γυναῖκας νεοκατηχήτους·
whom I-beheld men both and women newly-instructed

ἐθεασάμην καὶ Ἀβίταν τὴν τοῦ θεοῦ ἀξίαν σὺν τῷ
I-beheld also Avita the(-woman) — of-God worthy with the
ταύτης ἀνδρὶ Ἀπρονιανῷ καὶ τῇ τούτων θυγατρὶ Εὐνομίῃ,
her husband Apronianus and the their daughter Eunomia
εὐαρεστοῦντας τῷ θεῷ, ὡς ἄντικρυς μετατεθῆναι ἐπὶ
well-pleasing — to-God so-as outright to-be-transferred to
τὴν ἐνάρετον καὶ ἐγκρατῆ πολιτείαν, καταξιωθέντες ἐν
the virtuous and self-controlled way-of-life having-been-deemed-worthy in
τούτοις καὶ τῆς ἐν Χριστῷ κοιμήσεως, ἐλευθερωθέντες
these(-things) also of-the in Christ falling-asleep having-been-freed
μὲν πάσης ἁμαρτίας, ἐντὸς δὲ καὶ γνώσεως γενόμενοι
indeed from-all sin within and also knowledge having-come
ἐν μνήμῃ ἀγαθῇ τὸν βίον ἑαυτῶν καταλείψαντες.
in memory good the life their-own having-left

42 Ἀκήκοα περὶ Ἰουλιανοῦ τινὸς ἐν τοῖς μέρεσι τῶν
I-have-heard about Julian a-certain in the parts of-the
Ἐδεσηνῶν, ἀνδρὸς ἀσκητικωτάτου· ὃς καθ' ὑπερβολὴν
Edessenes (a)-man most-ascetic who to excess
κατατήξας αὐτοῦ τὸ σαρκίον ὀστέα καὶ δέρμα περιέφερε
having-wasted his the little-flesh bones and skin carried-about
μόνον. οὗτος εἰς τὰ ἔσχατα τοῦ τέλους κατηξιώθη
only this(-man) at the last of-the end was-deemed-worthy
τιμῆς χαρίσματος ἰαμάτων.
of-(the)-honor of-(the)-gift of-healings

43 Ἔγνων τινὰ πάλιν εἰς τὰ Ἱεροσόλυμα ὀνόματι Ἀδόλιον,
I-knew someone again in — Jerusalem by-name Adolius
Ταρσέα τῷ γένει, ὃς παραγενόμενος ἐν τοῖς Ἱεροσολύμοις
Tarsian by-the race who having-arrived in — Jerusalem
λίαν τὴν ἄτριπτον ὥδευσεν ὁδόν, οὐχ ἣν οἱ πολλοὶ
very the untrodden traveled road not which the many
ἐβαδίσαμεν, ἀλλὰ ξένην τινὰ ἀνατεμὼν ἑαυτῷ πολιτείαν·
we-walked but strange some having-cut-out for-himself way-of-life

ὑπὲρ ἄνθρωπον γὰρ ἠσκησεν, ὡς καὶ αὐτοὺς τοὺς
beyond man for he-practiced-discipline so-that even very the
δαίμονας φρίξαντας αὐτοῦ τὸ αὐστηρὸν μηδὲ τολμῆσαι
demons having-shuddered-at his the austerity not-even to-dare
αὐτῷ προσεγγίσαι. δι' ὑπερβολὴν γὰρ ἐγκρατείας καὶ
him to-approach because-of excess for of-self-control and
ἀγρυπνίας ὑπενοήθη καὶ φάσμα εἶναι. ἐν μὲν γὰρ τῇ
of-vigil he-was-suspected even (a)-phantom to-be in indeed for the
τεσσαρακοστῇ ἤσθιε διὰ πέντε, τὸν δὲ ἄλλον ὅλον καιρὸν
Lent he-ate every five(-days) the and other whole time
μίαν παρὰ μίαν. τὸ δὲ μέγα αὐτοῦ τοῦτο ἦν· ἀφ' ἑσπέρας
one beside one(-day) the and great his this was from evening
μέχρις ὅτε πάλιν ἡ ἀδελφότης συνήγετο εἰς τοὺς εὐκτηρίους
until when again the brotherhood gathered in the prayer
οἴκους, ἐν τῷ Ἐλαιῶνι εἰς τὸν τῆς ἀναλήψεως βουνὸν ὅθεν
houses in — Olivet on the of-the ascension hill whence
ἀνελήφθη ὁ Ἰησοῦς, ἑστὼς καὶ ψάλλων καὶ προσευχόμενος
was-taken-up — Jesus standing and singing and praying
διετέλει· καὶ εἴτε ἔνιφεν εἴτε ἔβρεχεν εἴτε ἐπάχνιζεν,
he-continued and whether it-snowed or it-rained or it-froze
ἀσάλευτος ἔμενε. πληρώσας οὖν τὸν συνήθη καιρὸν τῷ
unmoved he-remained having-completed then the customary time with-the
ἐξυπνιστικῷ σφυρίῳ τὰς πάντων ἔκρουε κέλλας, συνάγων
waking hammer the of-all he-knocked cells gathering
αὐτοὺς εἰς τοὺς εὐκτηρίους οἴκους, καὶ καθ' ἕκαστον
them into the prayer houses and in each
οἶκον συμψάλλων αὐτοῖς ἓν ἢ δεύτερον ἀντίφωνον, καὶ
house singing-with them one or second antiphon and
συνευχόμενος, οὕτως ἀπῄει πρὸ ἡμέρας εἰς τὸ κελλίον
praying-with(-them) thus he-went-away before day to the cell
ἑαυτοῦ, ὡς ἐπὶ τῆς ἀληθείας πολλάκις ἐκδιδυσκόντων αὐτὸν
his-own as on the truth often stripping him

τῶν ἀδελφῶν καὶ ἀποσφιγγόντων αὐτοῦ τὰ ἱμάτια ὡς ἀπὸ
the brothers and wringing his the garments as from
πλύτρας, καὶ ἄλλα περιβαλλόντων. οὕτως οὖν πάλιν
(a)-washing-trough and others putting-on(-him) thus then again
ἀναπαυθεὶς μέχρι τῆς ὥρας τῆς ψαλμῳδίας προσεῖχεν ἕως
having-rested until the hour of-the psalmody he-attended until
ἑσπέρας. καὶ αὕτη τοίνυν ἡ ἀρετὴ Ἀδολίου τοῦ Ταρσέως
evening and this therefore the virtue of-Adolius the Tarsian
τοῦ τελειωθέντος ἐν Ἱεροσολύμοις κἀκεῖ κοιμηθέντος.
the(-one) having-been-perfected in Jerusalem and-there having-fallen-asleep

44 Τὰ κατὰ τὸν μακάριον Ἰννοκέντιον τὸν πρεσβύτερον
the(-things) concerning the blessed Innocent the presbyter
τοῦ Ἐλαιῶνος παρὰ πολλῶν μὲν ἀκήκοας, οὐδὲν δὲ ἧττον
— of-Olivet from many indeed you-have-heard nothing but less
καὶ παρ' ἡμῶν τῶν συζησάντων αὐτῷ τρία ἔτη ἀκούσῃ.
also from us those having-lived-with him three years you-will-hear
οὗτος ἁπλούστατος ἦν καθ' ὑπερβολήν· γενόμενος δὲ τῶν
this(-man) most-simple was to excess having-been and of-the
ἐπιδόξων ἐν τῷ παλατίῳ ἐν ταῖς ἀρχαῖς Κωνσταντίου τοῦ
renowned in the palace in the beginnings of-Constantius the
βασιλέως ἀπετάξατο ὁρμώμενος ἀπὸ γάμου, ἐν οἷς εἶχε
emperor he-renounced setting-out from marriage in which he-had
καὶ υἱὸν Παῦλον ὀνόματι δομέστικον στρατευόμενον. τούτου
also (a)-son Paul by-name (a)-domesticus serving this(-one)
ἁμαρτήσαντος πρὸς θυγατέρα πρεσβυτέρου ἐπαράσατο
having-sinned with (a)-daughter of-(a)-presbyter cursed
ὁ Ἰννοκέντιος τῷ ἰδίῳ υἱῷ, παρακαλέσας τὸν θεὸν καὶ
— Innocent the own son having-besought — God and
εἰπὼν ὅτι Κύριε δὸς αὐτῷ τοιοῦτον πνεῦμα ἵνα μηκέτι
having-said that Lord give him such (a)-spirit that no-longer
εὕρῃ καιρὸν τοῦ ἐξαμαρτῆσαι τὸ σαρκίον· ἄμεινον
he-may-find occasion of-the to-sin the little-flesh better

ἡγησάμενος δαιμονίῳ αὐτὸν πυκτεύειν ἢ ἀκολασίᾳ. ὃ
having-deemed(-it) with-(a)-demon him to-box than with-licentiousness which
δὴ καὶ γεγένηται. ὃς ἔτι καὶ νῦν ἐστὶν εἰς τὸ ὄρος τῶν
indeed also happened who still also now is in the mountain of-the
Ἐλαιῶν σιδηροφορῶν καὶ παιδευόμενος ὑπὸ τοῦ πνεύματος.
Olives wearing-iron and being-chastised by the spirit
οὗτος ὁ Ἰννοκέντιος οἷος μὲν γέγονεν ἐλεήμων λῆρος
this — Innocent how indeed he-was merciful (a)-babbler
ὀφθήσομαι τἀληθῆ διηγούμενος, ὡς πολλάκις κλέπτειν
I-shall-appear the-truth relating as often to-steal
αὐτὸν ἀπὸ τῶν ἀδελφῶν καὶ διδόναι τοῖς δεομένοις. καθ'
him from the brothers and to-give to-those needing to
ὑπερβολὴν δὲ γέγονεν ἄκακος καὶ ἁπλοῦς, καὶ χαρίσματος
excess and he-was guileless and simple and of-(a)-gift
ἠξιώθη κατὰ δαιμόνων. ἐν οἷς ποτὲ ἠνέχθη
he-was-deemed-worthy against demons among which(-times) once was-brought
αὐτῷ νεανίσκος ὁρώντων ἡμῶν ὑπὸ πνεύματος ληφθεὶς
to-him (a)-youth us seeing by (a)-spirit seized
καὶ παρέσεως, ὡς ἐμὲ θεασάμενον ἄντικρυς θελῆσαι
and paralysis so-that me having-beheld(-it) straightway to-wish
διῶξαι τὴν μητέρα τοῦ ἀχθέντος, ἀπευδοκήσαντα τῆς
to-drive-away the mother of-the(-one) brought having-despaired of-the
θεραπείας. συνέβη οὖν ἐν τῷ μεταξὺ ἐλθόντα τὸν γέροντα
healing it-happened then in the meantime having-come the old-man
θεάσασθαι αὐτὴν παρεστῶσαν καὶ κλαίουσαν καὶ ὀδυρομένην
to-behold her standing-by and weeping and lamenting
ἐπὶ τῇ ἀνεκδιηγήτῳ συμφορᾷ τοῦ υἱοῦ. δακρύσας οὖν
at the indescribable misfortune of-the son having-wept then
ὁ καλόγηρος καὶ ἐπισπλαγχνισθεὶς λαβὼν τὸν
the good-old-man and having-been-moved-with-compassion having-taken the
νεανίσκον εἰσῆλθεν εἰς τὸ μαρτύριον ἑαυτοῦ ὃ ᾠκοδομήκει
youth he-went into the martyr's-shrine his-own which had-built

αὐτός, ἐν ᾧ λείψανα κατακεῖται Ἰωάννου τοῦ βαπτιστοῦ.
himself in which relics lie of-John the Baptist
καὶ ἐπευξάμενος αὐτῷ μέχρις ἐννάτης ὥρας ἀπὸ τρίτης
and having-prayed for-him until (the)-ninth hour from (the)-third
ὥρας, ὑγιῆ ἀπέδωκε τὸν νεανίσκον τῇ αὐτοῦ μητρὶ τῇ
hour healthy he-gave-back the youth to-the his mother on-the
αὐτῇ ἡμέρᾳ, καὶ τὴν πάρεσιν αὐτοῦ καὶ τὸν δαίμονα
same day both the paralysis his and the demon
ἐξελάσας· τοιαύτη δὲ ἦν ἡ πάρεσις αὐτοῦ ὡς πτύοντα
having-driven-out such and was the paralysis his that spitting
τὸν παῖδα ἐπὶ τὸν νῶτον πτύειν, οὕτως ἦν ἐκστραφείς.
the boy on the back to-spit so he-was twisted
Πρόβατον ἀπολέσασα γραῦς τις προσῆλθεν αὐτῷ
(a)-sheep having-lost old-woman a-certain came to-him
κλαίουσα· καὶ ἀκολουθήσας αὐτῇ λέγει· Δεῖξόν μοι τὸν τόπον
weeping and having-followed her he-says show me the place
ἔνθα ἀπώλεσας. ἀπάγει αὐτὸν εἰς τοὺς περὶ τὸν Λαζάριον
where you-lost(-it) she-leads-away him to the around the Lazarium
τόπους. στὰς οὖν προσηύξατο. οἱ δὲ κλέψαντες νεώτεροι
places having-stood then he-prayed the and having-stolen(-it) young-men
προφθάσαντες ἔσφαξαν αὐτό. ἐν τῷ οὖν προσεύξασθαι
having-anticipated slaughtered it in the then to-pray
αὐτὸν μηδενὸς ὁμολογοῦντος, κεκρυμμένου τοῦ κρεαδίου ἐν
him no-one confessing hidden the little-meat in
τῷ ἀμπελῶνι, ποθὲν κόραξ ἐλθὼν ἐπέστη καὶ λαβὼν
the vineyard from-somewhere (a)-raven having-come stood and having-taken
κόπεον πάλιν ἀπέστη. καὶ προσχὼν ὁ μακάριος εὗρε τὸ
(a)-piece again withdrew and having-attended the blessed(-one) found the
θῦμα· καὶ οὕτω προσπεσόντες αὐτῷ οἱ νεώτεροι ὡμολόγησαν
victim and thus having-fallen-before him the young-men confessed
οἱ σφάξαντες αὐτό, ἀπαιτηθέντες τὸ ἄξιον τίμημα.
those having-slaughtered it having-been-required the worthy price

Περιετύχομεν ἐν Γαλατίᾳ καὶ συνεχρονίσαμεν μακρῷ 45
we-met in Galatia and spent-time-with (a)-long
χρόνῳ τῷ πρεσβυτέρῳ Φιλορώμῳ ἀνδρὶ ἀσκητικωτάτῳ
time the presbyter Philoromus (a)-man most-ascetic
καὶ καρτερικωτάτῳ· ὃς ὥρμητο μὲν ἐξ οἰκέτιδος μητρὸς
and most-enduring who had-sprung indeed from (a)-slave mother
ἐλευθέρου δὲ πατρός· τοσαύτην δὲ εὐγένειαν εἰς τὴν
free but father such and nobility in the
κατὰ Χριστὸν ἐνεδείξατο πολιτείαν, ὡς καὶ αὐτοὺς
according-to Christ showed way-of-life so-as even very
τοὺς ἀνικήτους ἐν γένει αἰδεῖσθαι αὐτοῦ τὴν ζωὴν καὶ τὴν
the unconquered in race to-revere his the life and the
ἀρετήν. οὗτος ἀπετάξατο ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ
virtue this(-man) renounced in the days of-Julian the
δυσωνύμου βασιλέως, καὶ μετὰ παρρησίας διελέχθη τούτῳ.
ill-named emperor and with boldness talked to-this(-one)
ὃν ξυρισθῆναι ἐκέλευσε καὶ ὑπὸ παιδαρίων κοσσισθῆναι· ὃς
whom to-be-shaved ordered and by slave-boys to-be-slapped who
ἐγκαρτερήσας τῷ πράγματι, καὶ χάριτας αὐτῷ ὡμολόγησεν,
having-endured the thing and thanks to-him confessed
ὡς αὐτὸς ἡμῖν διηγήσατο. τούτῳ ἐπέθετο ἐν προοιμίοις
as himself to-us related on-this(-man) attacked in (the)-beginnings
ὁ τῆς πορνείας πόλεμος καὶ τῆς γαστριμαργίας· ὃς τὸ
the of-the fornication war and of-the gluttony who the
πάθος ἐξήλασεν ἐγκλεισμῷ τε καὶ σιδηροφορίᾳ, καὶ ἀποχῇ
passion drove-out by-shutting-in both and wearing-iron and abstinence
σιτίνου ἄρτου καὶ πάντων τῶν ἑψομένων διὰ πυρός.
from-wheaten bread and all the(-things) cooked through fire
διακαρτερήσας ἐν τούτοις ἐπὶ δεκαοκτὼ ἔτεσιν ᾖσε τὸν
having-held-out in these for eighteen years he-sang the
ἐπινίκιον ὕμνον τῷ Χριστῷ. οὗτος ὑπὸ τῶν πνευμάτων
triumphal hymn — to-Christ this(-man) by the spirits

τῆς πονηρίας διαφόρως πολεμηθεὶς ἐνεκαρτέρησεν ἐν ἑνὶ
of-the wickedness variously warred-on persevered in one
μοναστηρίῳ τεσσαράκοντα ἔτη. ἀφηγεῖτο δὲ οὗτος ὅτι
monastery forty years he-related and this(-man) that
Ἐπὶ τριάκοντα καὶ δύο ἔτη οὐδεμιᾶς ὀπώρας ἡψάμην.
for thirty and two years no fruit I-touched
δειλίας δέ ποτε πολεμησάσης πρὸς τὸ ταύτης περιγενέσθαι
cowardice and once having-warred for the this to-overcome
μνήματι ἑαυτὸν καθεῖρξεν ἐπὶ ἔτη ἕξ. τούτου πάνυ ἐκήδετο
in-(a)-tomb himself he-shut-up for years six this(-man) greatly cared-for
ὁ μακάριος Βασίλειος ὁ ἐπίσκοπος ἡδόμενος αὐτοῦ τῇ
the blessed Basil the bishop being-pleased-with his the
αὐστηρίᾳ καὶ τῇ στυφότητι· ὃς εἰσέτι καὶ νῦν τοῦ καλάμου
austerity and the severity who still also now the pen
καὶ τῆς τετράδος τοῦ γράφειν οὐκ ἀνεχώρησεν, ὀγδοηκοστόν
and the tablet of-the to-write not withdrew-from eightieth
που ἄγων ἔτος. οὗτος ἔφησεν ὅτι Ἀφ' οὗ ἐμυσταγωγήθην
about leading year this(-man) said that from which I-was-initiated
καὶ ἀνεγεννήθην μέχρι τῆς σήμερον ἡμέρας, ἄρτον ἀλλότριον
and born-again until the present day bread of-another
δωρεὰν οὐ βέβρωκα, ἀλλ' ἐκ τῶν ἰδίων πόνων· ὡς ἐπὶ
free not I-have-eaten but from the own labors as before
θεοῦ ἡμᾶς ἔπεισεν ὅτι διακόσια πεντήκοντα νομίσματα
God us he-persuaded that two-hundred fifty coins
ἐκ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ λελωβημένοις δέδωκεν,
from the work of-the hands his to-maimed(-people) he-has-given
οὐδέποτε ἀδικήσας οὐδένα. ὃς πεζῇ τῇ πορείᾳ καὶ
never having-wronged anyone who on-foot by-the journey even
μέχρις αὐτῆς Ῥώμης ἀπῆλθεν εὐξόμενος εἰς τὸ μαρτύριον
as-far-as very Rome went-away to-pray at the martyr's-shrine
τοῦ μακαρίου Πέτρου· ἔφθασε δὲ καὶ μέχρις Ἀλεξανδρείας,
of-the blessed Peter he-reached and also as-far-as Alexandria

εὐξόμενος εἰς τὸ μαρτύριον τοῦ Μάρκου. †ἦλθε† δὲ καὶ
to-pray at the martyr's-shrine — of-Mark came and also
δεύτερον εἰς Ἱεροσολύμους, ἰδίοις ἀπελθὼν ποσὶ καὶ
(a)-second(-time) to Jerusalem with-own having-gone-away feet and
ἀναλώμασιν ἑαυτῷ ἐπαρκέσας. ἔλεγεν δὲ οὗτος ὅτι Οὐ
with-means for-himself having-sufficed he-said and this(-man) that not
μέμνημαί ποτε ἀποστὰς κατὰ νοῦν τοῦ θεοῦ μου.
I-remember ever having-departed in mind — from-God my
Ἡ τρισμακαρία Μελανία Σπανὴ γέγονε τὸ γένος, εἰτοῦν 46
the thrice-blessed Melania Spanish was by-the race or-rather
Ῥωμαία· θυγάτηρ μὲν γέγονε Μαρκελλίνου τοῦ ἀπὸ
Roman daughter indeed she-was of-Marcellinus the(-one) of
ὑπάτων, ἀνδρὸς δέ τινος τῶν ἀπὸ ἀξιωμάτων γυνή,
consular(-rank) of-man and a-certain of-those of dignities wife
οὗ καλῶς οὐκ ἐπιμέμνημαι. αὐτὴ χηρεύσασα εἰκοστὸν
whom well not I-remember she having-been-widowed twenty
δεύτερον ἄγουσα ἔτος ἔρωτος θείου κατηξιώθη, καὶ μηδενὶ
second leading year of-love divine was-deemed-worthy and to-no-one
μηδὲν εἰρηκυῖα, ἐκωλύετο γὰρ ἐν τοῖς καιροῖς Οὐάλεντος
anything having-said she-was-hindered for in the times of-Valens
ἀρχὴν ἔχοντος ἐν τῇ βασιλείᾳ, ποιήσασα ἐπίτροπον τοῦ
rule holding in the empire having-caused (a)-guardian of-the
υἱοῦ αὐτῆς ὀνομασθῆναι, τὰ κινητὰ πάντα αὐτῆς λαβοῦσα
son her to-be-named the movables all her having-taken
καὶ ἐμβαλοῦσα εἰς πλοῖον, μετὰ φανερῶν παίδων καὶ
and having-put(-them) into (a)-boat with known servants and
γυναικῶν δρομαία κατέπλευσεν ἐπὶ τὴν Ἀλεξάνδρειαν.
women in-haste sailed-down to — Alexandria
κἀκεῖθεν διαπωλήσασα τὰς ὕλας καὶ εἰς χρυσὸν
and-from-there having-sold the goods and into gold
κατακερματίσασα εἰσῆλθεν εἰς τὸ ὄρος τῆς Νιτρίας, τοῖς
having-changed she-went into the mountain — of-Nitria the

πατράσι περιτυγχάνουσα τοῖς περὶ Παμβὼ καὶ Ἀρσίσιον
fathers meeting those around Pambo and Arsisius
καὶ Σαραπίωνα τὸν μέγαν καὶ Παφνούτιον τὸν Σκητιώτην
and Sarapion the great and Paphnutius the Scetiote
καὶ Ἰσίδωρον τὸν ὁμολογητὴν ἐπίσκοπον Ἑρμουπόλεως καὶ
and Isidore the confessor bishop of-Hermopolis and
Διόσκορον. καὶ ἐχρόνισε παρ᾽ αὐτοῖς ἕως ἥμισυ ἔτους
Dioscorus and she-spent-time with them as-far-as half (a)-year
ἀνὰ τὴν ἔρημον κυκλεύουσα καὶ ἱστοροῦσα πάντας τοὺς
through the desert going-around and visiting all the
ἁγίους. μετὰ δὲ τοῦτο τοῦ αὐγουσταλίου Ἀλεξανδρείας
saints after and this the augustalis of-Alexandria
ἐξορίσαντος Ἰσίδωρον καὶ Πισίμιον καὶ Ἀδέλφιον καὶ
having-exiled Isidore and Pisimius and Adelphius and
Παφνούτιον καὶ Παμβώ, ἐν οἷς καὶ Ἀμμώνιον τὸν
Paphnutius and Pambo among whom also Ammonius the
παρώτην, καὶ δώδεκα ἐπισκόπους καὶ πρεσβυτέρους, εἰς τὴν
ear-cut and twelve bishops and presbyters to —
Παλαιστίνην περὶ Διοκαισάρειαν· οἷς ἠκολούθησεν αὕτη ἐκ
Palestine around Diocaesarea whom followed she from
τῶν ἰδίων χρημάτων ὑπηρετουμένη. κωλυομένων δὲ τῶν
the own money serving(-them) being-hindered and the
ὑπηρετῶν, ὡς διηγοῦντο, συνέτυχον γὰρ τῷ ἁγίῳ Πισιμίῳ
servants as they-related they-met for the holy Pisimius
καὶ Ἰσιδώρῳ καὶ Παφνουτίῳ καὶ Ἀμμωνίῳ, αὕτη παιδαρίου
and Isidore and Paphnutius and Ammonius she of-(a)-slave-boy
καρακάλλιον λαβοῦσα ἐν ταῖς ἑσπέραις ἔφερεν αὐτοῖς
(a)-hooded-cloak having-taken in the evenings brought them
τὰ πρὸς τὴν χρείαν. γνοὺς δὲ ὁ ὑπατικὸς τῆς
the(-things) for the need having-known and the consular —
Παλαιστίνης, θελήσας τὸν κόλπον πληρῶσαι προσεδόκησεν
of-Palestine wishing the pocket to-fill expected

αὐτὴν καπνίζειν· καὶ κατασχὼν αὐτὴν ἔβαλεν εἰς φυλακὴν
her to-smoke and having-seized her threw(-her) into prison
ἀγνοῶν τὴν ἐλευθερίαν. αὕτη δὲ δηλοῖ αὐτῷ· Ἐγὼ
not-knowing the free-birth she but makes-known to-him I
τοῦδε μὲν γέγονα θυγάτηρ, τοῦδε δὲ γυνή· τοῦ δὲ
of-so-and-so indeed am daughter of-so-and-so and wife — and
Χριστοῦ εἰμὶ δούλη. καὶ μὴ τῆς εὐτελείας τοῦ σχήματός
of-Christ I-am servant and not the cheapness of-the guise
μου καταπτύσῃς· δύναμαι γὰρ ἐμαυτὴν ἐὰν θέλω ὑψῶσαι,
my despise I-can for myself if I-wish to-exalt
καὶ οὐκ ἔχεις με ἐν τούτῳ καπνίσαι οὐδὲ τῶν ἐμῶν τι
and not you-can me in this to-smoke nor of-the my anything
λαβεῖν. ὥστε οὖν ἵνα μὴ ἀγνοήσας ἐγκλήμασι περιπέσῃς
to-take so-that then that not having-been-ignorant into-charges you-may-fall
ἐδήλωσά σοι· δεῖ γὰρ κατὰ τῶν ἀναισθήτων
I-have-made-known to-you (one)-must for against the senseless
καθάπερ ἱέρακι τῷ τύφῳ κεχρῆσθαι. τότε γνοὺς ὁ
as with-(a)-hawk the conceit to-use then having-known the
δικαστὴς καὶ προσαπελογήσατο καὶ προσεκύνησεν αὐτῇ,
judge both apologized and did-obeisance to-her
καὶ ἐκέλευσεν αὐτὴν ἀκωλύτως συντυγχάνειν τοῖς ἁγίοις.
and ordered her unhindered to-meet the saints
Αὕτη μετὰ τὴν ἀνάκλησιν τούτων μοναστήριον κτίσασα
she after the recall of-these (a)-monastery having-founded
ἐν Ἱεροσολύμοις εἰκοσιεπτὰ ἔτεσιν ἐνεχρόνισεν ἐκεῖ ἔχουσα
in Jerusalem twenty-seven years spent-time there having
συνοδίαν παρθένων πεντήκοντα. ᾗ συνέζη καὶ ὁ
(a)-community of-virgins fifty with-whom lived also the
εὐγενέστατος καὶ ὁμότροπος καὶ στιβαρώτατος Ῥουφῖνος
most-noble and like-minded and most-steadfast Rufinus
ὁ ἀπὸ Ἰταλίας ἐξ Ἀκυληΐας τῆς πόλεως, πρεσβυτερίου
the(-one) from Italy from Aquileia the city of-presbyterate

ἐς ὕστερον καταξιωθείς· οὗ γνωστικώτερος καὶ
at later having-been-deemed-worthy than-whom more-knowing and
ἐπιεικέστερος ἐν ἀνδράσιν οὐχ εὑρίσκετο. δεξιούμενοι οὖν
more-reasonable among men not was-found welcoming then
ἀμφότεροι ἐν τοῖς εἰκοσιεπτὰ ἔτεσι τοὺς παρατυγχάνοντας
both in the twenty-seven years those chancing-by
ἐν τοῖς Ἱεροσολύμοις εὐχῆς ἕνεκεν, ἐπισκόπους τε
in — Jerusalem of-prayer for-the-sake bishops both
καὶ μονάζοντας καὶ παρθένους, οἰκείοις ἀναλώμασιν
and solitaries and virgins with-own means
ᾠκοδόμησαν μὲν πάντας τοὺς παρατυγχάνοντας,
they-edified indeed all the(-ones) chancing-by
ἥνωσαν δὲ τὸ σχίσμα τὸ κατὰ Παυλῖνον ὡς
they-united and the schism the(-one) concerning Paulinus of-about
ἀνδρῶν τετρακοσίων μοναζόντων, καὶ πάντα αἱρετικὸν
men four-hundred solitaries and every heretic
πνευματομάχον συμπείσαντες εἰσήγαγον εἰς τὴν ἐκκλησίαν,
spirit-fighter having-persuaded they-brought into the church
τιμῶντες τοὺς κατὰ τόπον κληρικοὺς δώροις καὶ τροφαῖς,
honoring the in place clerics with-gifts and foods
οὕτω διετέλεσαν μηδένα σκανδαλίσαντες.
thus they-continued no-one having-scandalized

Chronius digs a well deep in the desert and lives there sixty years. Paphnutius Cephalas tells Palladius that God abandons the proud for their good, or to show hidden virtue, as with Job. Elpidius lives twenty-five years in a cave near Jericho, so intent on his psalms that a scorpion's sting does not stir him.

47 Χρόνιός τις ὀνόματι ἐκ τῆς κώμης τῆς λεγομένης
Chronius a-certain by-name from the village the(-one) called
Φοινίκης, ἀπομετρήσας ἀπὸ τῆς ἰδίας κώμης πλησίον
Phoenice having-measured-off from the own village near
οὔσης τῆς ἐρήμου μύρια πεντακισχίλια βήματα τῷ
being the desert ten-thousand five-thousand steps with-the
δεξιῷ ποδὶ ἀριθμούμενα, ἐκεῖσε προσευξάμενος ὤρυξε
right foot counted there having-prayed he-dug
φρέαρ· καὶ εὑρὼν κάλλιστον ὕδωρ ἀπέχον ὀργυιὰς ἑπτὰ
(a)-well and having-found most-excellent water distant fathoms seven
ᾠκοδόμησεν ἑαυτῷ ἐκεῖ ξενίαν μικράν. καὶ ἀφ' ἧς
he-built for-himself there (a)-lodging small and from which
ἡμέρας ἐνεθρόνισεν ἑαυτὸν τῇ μονῇ ηὔξατο τῷ θεῷ μὴ
day he-enthroned himself in-the dwelling he-prayed — to-God not
ἀνακάμψαι μηκέτι εἰς οἰκούμενον τόπον. παρελθόντων δὲ
to-return any-longer to inhabited place having-passed and
ὀλίγων ἐτῶν ἠξιώθη πρεσβυτερίου ἀδελφότητος περὶ
few years he-was-deemed-worthy of-presbyterate (a)-brotherhood around
αὐτὸν συναχθείσης ὡς ἀνδρῶν διακοσίων. αὕτη οὖν
him having-been-gathered of-about men two-hundred this then
αὐτοῦ φέρεται τῆς ἀσκήσεως ἡ ἀρετή, ὅτι ἑξήκοντα ἔτη
his is-reported of-the discipline the virtue that sixty years

παρεδρεύσας τῷ θυσιαστηρίῳ ἱερατεύων οὐ τῆς ἐρήμου
having-attended the altar acting-as-priest not from-the desert
ἐξῆλθεν, οὐκ ἐκτὸς ἔργου ἰδίων χειρῶν βέβρωκεν ἄρτον.
he-went-out not apart-from work of-own hands he-has-eaten bread
Τούτῳ συνῴκει Ἰακώβ τις ἐκ γειτόνων ὁ
with-this(-man) lived Jacob a-certain from neighbors the(-one)
ἐπίκλην χωλός, γνωστικώτατος εἰς ἄκρον. ἀμφότεροι δὲ
by-name lame most-knowing to (the)-height both and
γνώριμοι ἦσαν τοῦ μακαρίου Ἀντωνίου. μιᾶς οὖν τῶν
acquainted they-were with-the blessed Antony on-one then of-the
ἡμερῶν συνδραμόντος καὶ Παφνουτίου τοῦ ἐπιλεγομένου
days having-come-together also Paphnutius the(-one) surnamed
Κεφαλᾶ, ὃς χάρισμα γνώσεως εἶχε τῶν θείων γραφῶν
Cephalas who (the)-gift of-knowledge had of-the divine scriptures
παλαιᾶς καὶ καινῆς διαθήκης, πᾶσαν αὐτὴν ἑρμηνεύων
old and new testament all it interpreting
μὴ ἀναγνοὺς γραφάς, πρᾶος δὲ ἦν ὡς καλύπτεσθαι
not having-read scriptures meek and he-was so-as to-be-hidden
προφητικὴν ἀρετήν· οὗ φέρεται ὅτι ὀγδοήκοντα ἔτη ὑφ᾽
prophetic virtue of-whom is-reported that eighty years at
ἓν δύο χιτῶνας οὐκ ἔσχε. τούτοις συντυχόντες ἐγώ τε καὶ
once two tunics not he-had with-these having-met I both and
οἱ μακάριοι Εὐάγριος καὶ Ἀλβάνιος ἐζητοῦμεν μαθεῖν τὰς
the blessed Evagrius and Albanius sought to-learn the
αἰτίας τῶν παραπιπτόντων ἢ καὶ ἐκπιπτόντων ἀδελφῶν ἢ
causes of-the falling-aside or also falling-out brothers or
σφαλλομένων ἐν τῷ καθήκοντι βίῳ. συνέβη γὰρ ἐν ταῖς
erring in the fitting life it-happened for in the
ἡμέραις ἐκείναις καὶ Χαιρήμονα τὸν ἀσκητὴν καθεζόμενον
days those also Chaeremon the ascetic sitting
τελευτῆσαι καὶ εὑρεθῆναι αὐτὸν νεκρὸν ἐν τῇ καθέδρᾳ
to-die and to-be-found him dead in the seat

κατέχοντα τὸ ἔργον εἰς τὰς χεῖρας. συνέβη δὲ καὶ ἄλλον
holding the work in the hands it-happened and also another
ἀδελφὸν ὀρύσσοντα φρέαρ καταχωσθῆναι ὑπὸ τοῦ φρέατος·
brother digging (a)-well to-be-buried by the well
καὶ ἄλλον ἀπὸ τῆς Σκήτεως κατερχόμενον ἀποθανεῖν ἀπὸ
and another from — Scetis coming-down to-die from
λείψεως ὕδατος· ἐν οἷς καὶ τὰ κατὰ Στέφανον
lack of-water among which(-things) also the(-things) concerning Stephen
τὸν ἐκπεσόντα εἰς αἰσχρὰν ἀσωτίαν, καὶ Εὐκάρπιον, καὶ
the(-one) having-fallen into shameful profligacy and Eucarpius and
τὰ κατὰ Ἥρωνα τὸν Ἀλεξανδρέα, καὶ τὰ κατὰ
the(-things) concerning Heron the Alexandrian and the(-things) concerning
Οὐάλην τὸν Παλαιστῖνον, καὶ τὰ κατὰ Πτολεμαῖον
Valens the Palestinian and the(-things) concerning Ptolemy
τὸν ἐν τῇ Σκήτει Αἰγύπτιον. συνηρωτῶμεν οὖν τίς ἡ
the(-one) in — Scetis Egyptian we-asked-together then what the
αἰτία τοῦ οὕτω ζῶντας ἀνθρώπους ἐν τῇ ἐρημίᾳ τοὺς μὲν
cause of-the thus living men in the desert the(-ones) indeed
ἀπατηθῆναι τὴν φρένα τοὺς δὲ περιρραγῆναι ἀκολασίᾳ.
to-be-deceived in-the mind the(-others) and to-be-torn-away by-licentiousness
ταύτην οὖν ἡμῖν ἔδωκε τὴν ἀπόκρισιν Παφνούτιος ὁ
this then to-us gave the answer Paphnutius the
γνωστικώτατος, ὅτιπερ Πάντα τὰ γινόμενα διαιρεῖται
most-knowing that all the(-things) happening are-divided
εἰς δύο, εἵς τε εὐδοκίαν θεοῦ καὶ συγχώρησιν. ὅσα
into two into both good-pleasure of-God and permission as-many-as
τοίνυν γίνεται κατὰ ἀρετὴν εἰς δόξαν θεοῦ, ταῦτα
therefore happen according-to virtue for (the)-glory of-God these
γίνεται εὐδοκίᾳ θεοῦ· ὅσα δ' αὖ πάλιν ἐπιζήμια
happen by-good-pleasure of-God as-many-as but in-turn again harmful
καὶ ἐπικίνδυνα καὶ περιστατικὰ καὶ ἐκπτωτικά, ταῦτα
and dangerous and calamitous and causing-falls these

γίνεται κατὰ θεοῦ συγχώρησιν. ἡ δὲ συγχώρησις ἐκ
happen according-to of-God permission the and permission from
λόγου γίνεται· ἀδύνατον γὰρ τὸν ὀρθῶς φρονοῦντα καὶ
reason happens impossible for the(-one) rightly thinking and
ὀρθῶς βιοῦντα περιπεσεῖν πταίσμασιν αἰσχύνης ἢ πλάνης
rightly living to-fall into-stumblings of-shame or deception
δαιμόνων. ὅσοι τοίνυν διεφθαρμένῳ σκοπῷ νόσῳ
of-demons as-many-as therefore with-corrupted aim by-(the)-sickness
ἀνθρωπαρεσκείας καὶ αὐθαδείᾳ λογισμῶν μετέρχεσθαι
of-man-pleasing and by-self-will of-thoughts to-pursue
δοκοῦσι τὴν ἀρετήν, οὗτοι καὶ σφάλμασι περιπίπτουσι,
seem the virtue these also into-errors fall
θεοῦ πρὸς τὸ συμφέρον αὐτῶν ἐγκαταλιμπάνοντος αὐτούς,
God for the advantage their forsaking them
ἵνα διὰ τῆς ἐγκαταλείψεως αἰσθανόμενοι τὴν ἐκ τῆς
that through the forsaking perceiving the from the
μεταβολῆς ἀλλοίωσιν διορθώσωνται ἢ τὴν πρόθεσιν ἢ
change alteration they-may-correct either the purpose or
τὴν πρᾶξιν. ποτὲ μὲν γὰρ ἡ πρόθεσις ἐξαμαρτάνει,
the practice sometimes indeed for the purpose errs
ὅταν κακῷ σκοπῷ γένηται· ποτὲ δὲ καὶ ἡ πρᾶξις,
when with-bad aim it-happens sometimes and also the practice
ὅταν διεφθαρμένως ἢ καθ' ὃν δεῖ τρόπον μὴ
when corruptly or according-to which (one)-must way not
γένηται. ὅπερ συμβαίνει πολλάκις καὶ τὸν ἀκόλαστον
it-happens which happens often also the licentious
διεφθαρμένῳ σκοπῷ ποιεῖν τὴν ἐλεημοσύνην ἐπὶ νεωτέρας
with-corrupted aim to-do the alms to young(-women)
διὰ τέλος αἰσχρόν, πρᾶξιν δὲ εὔλογον τῷ ὡς ὀρφανῇ
for (an)-end shameful (a)-practice but reasonable by-the as to-(an)-orphan
καὶ μόνῃ καὶ ἀσκουμένῃ διδόναι ἐπικουρίαν. συμβαίνει
and alone and practicing-discipline to-give help it-happens

δὲ καὶ σκοπῷ ὀρθῷ ποιεῖν ἐλεημοσύνην εἰς νοσοῦντας ἢ
and also with-aim right to-do alms to sick or
γεγηρακότας ἢ ἐκπεπτωκότας πλούτου, φειδωλῶς δὲ καὶ
aged or fallen-from wealth sparingly but and
μετὰ γογγυσμοῦ, καὶ εἶναι τὸν μὲν σκοπὸν ὀρθόν, τὴν δὲ
with grumbling and to-be the indeed aim right the but
πρᾶξιν τοῦ σκοποῦ ἀναξίαν· δεῖ γὰρ τὸν ἐλεήμονα ἐν
practice of-the aim unworthy (one)-must for the merciful(-man) in
ἱλαρότητι ἐλεεῖν καὶ ἀφειδίᾳ. ἔλεγον δὲ καὶ τοῦτο ὅτι
cheerfulness to-show-mercy and unsparingness they-said and also this that
Προτερήματά εἰσιν ἐν πολλαῖς ψυχαῖς, ἐν ταῖς μὲν εὐφυία
excellences are in many souls in the indeed giftedness
διανοίας, ἐν ταῖς δὲ ἐπιτηδειότης ἀσκήσεως. ἀλλ' ὅταν
of-mind in the(-others) and fitness for-discipline but when
μὴ γένηται δι' αὐτὸ τὸ καλὸν μήτε ἡ πρᾶξις μήτε ἡ
not it-happen for very the good either the practice or the
εὐφυία, μήτε οἱ τὰ προτερήματα κεκτημένοι οὐ τῷ δοτῆρι
giftedness or those the excellences having-acquired not to-the giver
τῶν ἀγαθῶν θεῷ ἐπιγράφουσιν, ἀλλὰ τῇ ἰδίᾳ προαιρέσει
of-the good(-things) God ascribe but to-the own choice
καὶ εὐφυίᾳ καὶ ἱκανότητι, οἱ τοιοῦτοι ἐγκαταλειφθέντες,
and giftedness and sufficiency the such(-men) having-been-forsaken
ἢ εἰς αἰσχρουργίαν ἢ εἰς αἰσχροπάθειαν καὶ αἰσχύνην
either into shameful-deeds or into shameful-passion and shame
ληφθέντες, διὰ τῆς ἐπιγινομένης ταπεινώσεως καὶ
having-been-taken through the supervening humiliation and
αἰσχύνης ἠρέμα πως τὸν ἐπὶ τῇ νομιζομένῃ ἀρετῇ
shame gently somehow the at the supposed virtue
ἀποτρίβονται τῦφον. ἐπειδὴ γὰρ ὁ πεφυσιωμένος
rub-off conceit since for the(-one) puffed-up
ἐπὶ εὐφυίᾳ λόγων ἐπαιρόμενος οὐκ ἐπιγράφει θεῷ τὴν
at giftedness of-words being-exalted not ascribes to-God the

εὐφυίαν οὐδὲ τὴν χορηγίαν τῆς γνώσεως, ἀλλὰ τῇ
giftedness nor the supply of-the knowledge but to-the
ἑαυτοῦ ἀσκήσει ἢ φύσει, ἀφιστᾷ ὁ θεὸς τὸν ἄγγελον τῆς
his-own discipline or nature removes — God the angel of-the
προνοίας ἀπ᾽ αὐτοῦ· οὗ ἀποστραφέντος καταδυναστευθεὶς
providence from him who having-turned-away overpowered
ὑπὸ τοῦ ἀντικειμένου ὁ ἐπαιρόμενος ἐπὶ τῇ εὐφυίᾳ
by the adversary the(-one) exalted at the giftedness
περιπίπτει τῇ ἀκολασίᾳ διὰ τῆς ὑπερηφανίας, ἵνα τοῦ
falls-into the licentiousness through the pride that the
μάρτυρος τῆς σωφροσύνης ἀφαιρεθέντος ἀναξιόπιστα
witness of-the chastity having-been-taken-away untrustworthy
γένηται τὰ λεγόμενα παρ᾽ αὐτῶν, φευγόντων τῶν
may-become the(-things) said by them fleeing the
εὐλαβῶν τὴν ἐκ τοῦ τοιούτου στόματος διδασκαλίαν
pious the from the such mouth teaching
καθάπερ πηγὴν βδέλλας ἔχουσαν· ὡς πληροῦσθαι τὸ
as (a)-spring leeches having so-as to-be-fulfilled the(-thing)
γεγραμμένον· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· Ἵνα τί
written to-the but sinner said — God for what
σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν
you relate the ordinances my and take-up the
διαθήκην μου διὰ στόματός σου; ἐοίκασι γὰρ ἀληθῶς
covenant my through mouth your are-like for truly
αἱ τῶν ἐμπαθῶν ψυχαὶ διαφόροις πηγαῖς· οἱ μὲν
the of-the passionate souls various springs the(-ones) indeed
γαστρίμαργοι καὶ οἰνόφιλοι πηγαῖς βορβορώδεσιν· οἱ
gluttonous and wine-loving to-springs muddy the(-ones)
δὲ φιλάργυροι καὶ πλεονεκταὶ πηγαῖς βατράχους ἐχούσαις·
and avaricious and grasping to-springs frogs having
οἱ δὲ βάσκανοι καὶ ὑπερήφανοι ἐπιτηδειότητα δὲ
the(-ones) and envious and proud fitness but

γνώσεως ἔχοντες, πηγαῖς ὄφεις τρεφούσαις, αἷς ἀεὶ
of-knowledge having to-springs snakes rearing in-which always
μὲν ἐνλιμνάζει ὁ λόγος, μηδένα δὲ ἡδέως ἀρύεσθαι
indeed stagnates the word no-one but gladly to-draw
τούτων διὰ τὴν πικρίαν τοῦ ἤθους. ὅθεν ὁ Δαβὶδ
of-these because-of the bitterness of-the character whence — David
παρεκάλει τρία αἰτῶν, χρηστότητα καὶ παιδείαν
asked three(-things) asking kindness and discipline
καὶ γνῶσιν. ἄνευ γὰρ χρηστότητος γνῶσις ἄχρηστος·
and knowledge without for kindness knowledge (is)-useless
καὶ ἐὰν μὲν διορθώσηται ὁ τοιοῦτος, τὴν αἰτίαν τῆς
and if indeed corrects the such(-man) the cause of-the
ἐγκαταλείψεως ἀποθέμενος, τουτέστι τὸν τῦφον, καὶ
forsaking having-put-off that-is the conceit and
ἀναλάβῃ ταπεινοφροσύνην καὶ ἐπιγνῷ ἑαυτοῦ τὰ μέτρα,
take-up humility and recognize his-own the measures
μήτε κατά τινος ἐπαιρόμενος, καὶ τῷ θεῷ εὐχαριστῶν,
neither against anyone exalting-himself and — to-God giving-thanks
ἐπανέρχεται πάλιν εἰς αὐτὸν ἡ ἐμμάρτυρος γνῶσις. λόγοι
returns again to him the attested knowledge words
γὰρ πνευματικοὶ βίον σεμνὸν καὶ σώφρονα μὴ ἔχοντες
for spiritual (a)-life august and temperate not having
συνιππάζοντα στάχυές εἰσιν ἀνεμόφθοροι, τὸ μὲν σχῆμα
riding-along ears are wind-blasted the indeed form
ἔχοντες, τὸ δὲ τρόφιμον ὑποκλαπέντες. πᾶσα οὖν πτῶσις,
having the but nourishment stolen-away every then fall
εἴτε διὰ γλώσσης εἴτε δι' αἰσθήσεως εἴτε ἡ διὰ
whether through tongue or through sense or the(-one) through
πράξεως, εἴτε ἡ δι' ὅλου τοῦ σώματος, πρὸς τὴν
deed or the(-one) through whole the body in the
ἀναλογίαν τῆς ὑπερηφανίας κατ' ἐγκατάλειψιν γίνεται, θεοῦ
proportion of-the pride by forsaking happens God

φειδομένου τῶν ἐγκαταλιμπανομένων. εἰ γὰρ μετὰ τῆς
sparing those forsaken if for with the
ἀκολασίας καὶ τῇ εὐφυίᾳ αὐτῶν μαρτυρήσει τῇ χορηγίᾳ
licentiousness also to-the giftedness their will-bear-witness by-the supply
τῶν λόγων ὁ κύριος, δαίμονας αὐτοὺς ἀπεργάζεται ἡ
of-the words the Lord demons them makes the
ὑπερηφανία ἐπαιρομένους μετὰ ἀκαθαρσίας.
pride exalted with uncleanness

Καὶ ταῦτα δὲ ἡμῖν ἔλεγον οἱ ὅσιοι ἐκεῖνοι ἄνδρες· Ὅταν
and these(-things) too to-us said the holy those men when
ἴδῃς, φησί, τινὰ βίῳ μὲν χαλεπὸν λόγῳ δὲ πιθανόν,
you-see he-says someone in-life indeed difficult in-speech but persuasive
μνημόνευσον τοῦ δαίμονος τοῦ ἀπὸ τῆς ἁγίας γραφῆς
remember the demon the(-one) from the holy scripture
Χριστῷ ὁμιλοῦντος, καὶ τῆς λεγούσης μαρτυρίας· Ὁ δὲ
with-Christ conversing and the saying testimony the but
ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς
serpent was most-wise of-all the beasts those on the
γῆς· ᾧ ἡ φρόνησις μᾶλλον εἰς βλάβην γεγένηται ἄλλης
earth whose the wisdom rather for harm has-become other
ἀρετῆς αὐτῷ μὴ συνδραμούσης. δεῖ γὰρ τὸν πιστὸν
virtue with-it not running-together (one)-must for the faithful
καὶ ἀγαθὸν φρονεῖν μὲν ἃ δίδωσιν ὁ θεός, λαλεῖν δὲ
and good(-man) to-think indeed what gives — God to-speak and
ἃ φρονεῖ, ποιεῖν δὲ ἃ λαλεῖ. ἐὰν γὰρ μὴ τῇ ἀληθείᾳ
what he-thinks to-do and what he-speaks if for not with-the truth
τῶν λόγων ἡ τοῦ βίου συντρέχῃ συγγένεια, ἄρτος ἐστὶν
of-the words the of-the life runs-together kinship (a)-loaf it-is
ἄνευ ἁλὸς κατὰ τὸν Ἰώβ, ὃς οὐ βρωθήσεται οὐδαμῶς,
without salt according-to — Job which not will-be-eaten in-any-way
ἢ βρωθεὶς ἄξει εἰς καχεξίαν τοὺς ἐσθίοντας αὐτόν· Εἰ
or eaten will-lead into ill-health those eating it if

βρωθήσεται γάρ, φησίν, ἄρτος ἄνευ ἁλός; καὶ εἰ ἔστι
will-be-eaten for he-says bread without salt and if there-is
γεῦμα ἐν ῥήμασι κενοῖς μὴ πεπληρωμένοις τῇ μαρτυρίᾳ
taste in words empty not filled with-the testimony
τῶν ἔργων; τῶν οὖν ἐγκαταλείψεων αἱ αἰτίαι ἡ μέν
of-the works of-the then forsakings the causes the(-one) indeed
ἐστι διὰ κεκρυμμένην ἀρετήν, ἵνα φανερωθῇ, ὡς
is because-of hidden virtue that it-may-be-made-manifest as
ἡ τοῦ Ἰώβ, τοῦ θεοῦ χρηματίζοντος αὐτῷ καὶ
the(-forsaking) — of-Job — God answering him and
λέγοντος· Μὴ ἀποποιοῦ μου τὸ κρῖμα, μηδὲ οἷου με ἄλλως
saying not reject my the judgment nor think me otherwise
σοι κεχρηματικέναι, ἀλλ' ἵνα ἀναφανῇς δίκαιος· ἐμοὶ
to-you to-have-answered but that you-may-appear righteous to-me
γὰρ ἦς γνωστὸς τῷ ὁρῶντι τὰ κρυπτά, ἐπειδὴ
for you-were known to-the(-one) seeing the hidden(-things) since
δὲ ἠγνόου τοῖς ἀνθρώποις, ὑπονοούντων σε διὰ
but you-were-unknown to-the men suspecting you because-of
τὸν πλοῦτον θεραπεύειν με, ἐπήγαγον τὴν περίστασιν,
the wealth to-serve me I-brought-on the calamity
ἀπεθέρισα τὸν πλοῦτον, ἵνα δείξω αὐτοῖς τὴν εὐχάριστόν
I-reaped-off the wealth that I-may-show them the thankful
σου φιλοσοφίαν· ἡ δὲ δι' ἀποτροπὴν ὑπερηφανίας,
your philosophy the(-one) and for (the)-averting of-pride
ὡς ἐπὶ τοῦ Παύλου· ἐγκατελείφθη γὰρ ὁ Παῦλος
as in-the-case-of — Paul was-forsaken for — Paul
περιστάσεσι καὶ κολαφισμοῖς καὶ διαφόροις θλίψεσι
to-calamities and buffetings and various afflictions
βαλλόμενος, καὶ ἔλεγεν· Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ
being-thrown and he-said was-given to-me (a)-thorn in-the flesh
ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι·
(an)-angel of-Satan that me he-may-buffet that not I-be-exalted

μήποτε μετὰ τῶν θαυμάτων καὶ ἡ ἄνεσις καὶ ἡ εὐθηνία
lest with the wonders also the ease and the plenty
καὶ ἡ τιμὴ αὐτῷ προσγενομένη εἰς τῦφον αὐτὸν ἐμβάλλῃ
and the honor to-him added into conceit him might-throw
διαβολικὸν χαυνωθέντα. ἐγκατελείφθη καὶ ὁ παραλυτικὸς
devilish puffed-up was-forsaken also the paralytic
δι᾽ ἁμαρτίας, ὡς λέγει ὁ Ἰησοῦς· Ἴδε, ὑγιὴς γέγονας,
because-of sin as says — Jesus behold healthy you-have-become
μηκέτι ἁμάρτανε. ἐγκατελείφθη καὶ ὁ Ἰούδας προτιμήσας
no-longer sin was-forsaken also — Judas having-preferred
λόγου ἀργύριον, διὸ καὶ ἀπήγξατο. ἐγκατελείφθη
to-(the)-word money wherefore also he-hanged-himself was-forsaken
καὶ ὁ Ἡσαῦ καὶ περιέπεσεν ἀκολασίᾳ, προτιμήσας
also — Esau and fell-into licentiousness having-preferred
κόπρον ἐντέρων εὐλογίας πατρικῆς. ὡς ταῦτα πάντα
dung of-entrails to-blessing paternal so-that these(-things) all
συναισθανόμενον τὸν Παῦλον εἰπεῖν περί τινων μέν·
perceiving — Paul to-say about some indeed
Ἐπειδὴ γὰρ οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει,
since for not they-approved — God to-have in knowledge
παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ
gave-over them — God to (a)-reprobate mind to-do the(-things)
μὴ καθήκοντα· περὶ δὲ ἑτέρων τινῶν τῶν δοκούντων
not fitting about but other some of-those seeming
ἔχειν γνῶσιν θεοῦ μετὰ διεφθαρμένης γνώμης· Ἐπειδὴ γὰρ
to-have knowledge of-God with corrupted mind since for
γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν,
having-known — God not as God they-glorified or gave-thanks
παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας· ὡς ἐκ
gave-over them — God to passions of-dishonor so-that from

τούτου γινώσκειν ἡμᾶς ὅτι ἀμήχανόν ἐστι πεσεῖν τινὰ εἰς
this to-know us that impossible it-is to-fall anyone into
ἀκολασίαν μὴ ἐγκαταλειφθέντα ὑπὸ τῆς προνοίας τοῦ θεοῦ.
licentiousness not having-been-forsaken by the providence — of-God
Ἐν τοῖς κατὰ Ἰεριχὼ σπηλαίοις τῶν Ἀμορραίων, 48
in the near Jericho caves of-the Amorites
ἃ πάλαι λελαξεύκεισαν φεύγοντες Ἰησοῦν τὸν τοῦ
which of-old had-hewn fleeing Joshua the(-son) —
Ναυῆ ἐκπορθοῦντα τὸ τηνικαῦτα τοὺς ἀλλοφύλους εἰς
of-Nave sacking the then the foreigners into
τὸ ὄρος τοῦ Δουκᾶ, Ἐλπίδιός τις Καππαδόκης
the mountain — of-Doukas Elpidius a-certain Cappadocian
ἐς ὕστερον πρεσβυτερίου ἠξιωμένος, τοῦ μοναστηρίου
at later of-presbyterate deemed-worthy of-the monastery
γενόμενος Τιμοθέου τοῦ Καππάδοκος χωρεπισκόπου, ἀνδρὸς
having-been of-Timothy the Cappadocian country-bishop (a)-man
ἱκανωτάτου, ἐλθὼν παρῴκησεν ἐν ἑνὶ τῶν σπηλαίων·
most-able having-come sojourned in one of-the caves
ὃς τοσαύτην ἐγκράτειαν ἀσκήσεως ἐνεδείξατο ὡς καλύψαι
who such self-control of-discipline showed as to-overshadow
σύμπαντας. ζήσας γὰρ εἰκοσιπέντε ἔτη τὰς κυριακὰς
all having-lived for twenty-five years on-the Lord's-days
μετελάμβανε μόνον καὶ τὸ σάββατον, τὰς νύκτας ἑστὼς
he-partook only and the Saturday the nights standing
καὶ ψάλλων. ᾧ καθάπερ βασιλίσκῳ τῶν μελισσῶν
and singing with-whom like (a)-king of-the bees
ἐν μέσῳ συνῴκει †τῷ πλήθει† τῆς ἀδελφότητος, κἀγὼ
in (the)-midst dwelt-with the multitude of-the brotherhood I-too
δὲ συνῴκησα αὐτῷ, καὶ οὕτω τὸ ὄρος ἐπόλισε· καὶ
and dwelt-with him and thus the mountain he-made-a-city and
ἦν ἐκεῖ ἰδεῖν διαφόρους πολιτείας. τοῦτόν ποτε τὸν
it-was there to-see various ways-of-life this(-one) once —

Ἐλπίδιον ψάλλοντα ἐν νυκτὶ καὶ συμψαλλόντων ἡμῶν
Elpidius singing in (the)-night and singing-with(-him) us
σκορπίος ἔπληξεν· ὃς πατήσας αὐτὸν οὐδὲ μετέστη
(a)-scorpion struck who having-trodden-on it not-even moved
τῆς τοῦ σχήματος στάσεως ἀλογήσας τῆς κατὰ τὸν
from-the of-the posture stance having-disregarded the from the
σκορπίον ὀδύνης. ἀδελφοῦ δέ τινος κατέχοντος μιᾶς τῶν
scorpion pain brother and a-certain holding on-one of-the
ἡμερῶν κλήματος κόμμα, λαβὼν ἐν τῷ καθῆσθαι παρὰ
days of-(a)-vine (a)-cutting having-taken in the to-sit by
τὴν ὄχθαν τοῦ ὄρους ἔχωσεν ὡς φυτεύων, καίπερ ἐν
the edge of-the mountain he-buried(-it) as planting although in
οὐ καιρῷ· ὃ εἰς τοσοῦτον ηὐξήθη καὶ γέγονεν ἄμπελος
not season which to such grew and became (a)-vine
ὡς σκεπάζειν τὴν ἐκκλησίαν. ᾧ συνετελειώθη καὶ
as to-cover the church with-whom was-perfected-together also
Αἰνέσιός τις ἀνὴρ ἀξιόλογος, καὶ Εὐστάθιος ὁ ἀδελφὸς
Aenesius a-certain (a)-man notable and Eustathius the brother
αὐτοῦ. ἐπὶ τοσοῦτον δὲ ἤλασεν ἀπαθείας ταριχευθεὶς τὸ
his to so-far and he-drove of-passionlessness dried-up in-the
σῶμα ὡς ἥλιον διαφαίνειν αὐτοῦ τῶν ὀστέων. φέρεται
body that (the)-sun to-shine-through his the bones is-reported
δὲ διήγημα παρὰ τῶν σπουδαίων αὐτοῦ μαθητῶν ὅτι
and (a)-narrative by the zealous his disciples that
ἐπὶ δύσιν οὐδέποτε ἐστράφη τῷ ἐπικεῖσθαι τὸ ὄρος
to (the)-west never he-turned by-the to-lie-over the mountain
εἰς ὕψος τῇ τοῦ σπηλαίου θύρᾳ· οὐδὲ τὸν ἥλιον μετὰ
to height the of-the cave door nor the sun after
ἕκτην ὥραν ὑπὲρ κορυφῆς γενόμενον καὶ κατὰ δύσιν
(the)-sixth hour above (the)-summit having-come and toward (the)-west
κλίνοντα εἶδέ ποτε, οὐδὲ τοὺς κατὰ δυσμὰς ἀνατέλλοντας
declining he-saw ever nor the in (the)-west rising

ἀστέρας, ἐπὶ εἰκοσιπέντε ἔτη· ὃς ἀφ' οὗ εἰσῆλθεν εἰς
stars for twenty-five years who from which he-entered into
τὸ σπήλαιον οὐ κατῆλθε τοῦ ὄρους μέχρις οὗ ἐτάφη.
the cave not came-down from-the mountain until — he-was-buried

XIV · PALESTINE AND MELANIA'S HOUSEHOLD

Sisinnius, a Cappadocian born a slave but free by faith, trains under Elpidius and gathers a community of men and women; Gaddanas lives in the open by the Jordan, and the hand of the Jew who bares a sword against him withers; Elias finds loaves in his cell for his guests; Sabas leaves dates and vegetables at the cells by night; and Abramius claims Christ has ordained him a presbyter. Palladius completes the story of the elder Melania, who sailed to Rome at sixty to save her granddaughter, and tells of Silvania, Olympias, Candida, and Gelasia.

Τούτου τοῦ Ἐλπιδίου μαθητὴς γέγονε Σισίννιος ὀνόματι, ἐξ 49
of-this — Elpidius disciple was Sisinnius by-name from
οἰκετικῆς μὲν ὁρμώμενος τύχης ἐλεύθερος δὲ κατὰ τὴν
servile indeed setting-out fortune free but according-to the
πίστιν, τῷ γένει Καππαδόκης· δεῖ γὰρ καὶ τάδε
faith by-the race Cappadocian (one)-must for also these(-things)
σημαίνειν πρὸς δόξαν τοῦ ἐξευγενίζοντος ἡμᾶς Χριστοῦ,
to-point-out for (the)-glory of-the ennobling us Christ
καὶ εἰς τὴν ἀληθινὴν ἀπάγοντος ἡμᾶς εὐγένειαν. οὗτος
and into the true leading us nobility this(-man)
χρονίσας παρὰ τῷ Ἐλπιδίῳ ἕκτον ἢ ἕβδομον ἔτος ἐς
having-spent-time with — Elpidius (the)-sixth or seventh year at
ὕστερον μνήματι ἑαυτὸν καθεῖρξε καὶ ἐπὶ τρία ἔτη ἐν τῷ
later in-(a)-tomb himself shut-up and for three years in the
μνήματι ἐν προσευχαῖς διετέλει, μὴ νύκτωρ μὴ μεθ' ἡμέραν
tomb in prayers continued not by-night not by day

μὴ καθίσας, μὴ ἀναπεσών, μὴ βαδίσας ἔξω. οὗτος
not having-sat not having-lain-down not having-walked outside this(-man)
κατηξιώθη χαρίσματος κατὰ δαιμόνων. νυνὶ δὲ ἐπανελθὼν
was-deemed-worthy of-(the)-gift against demons now but having-returned
ἐπὶ τὴν πατρίδα ἠξιώθη πρεσβυτερίου, συναγαγὼν
to the homeland was-deemed-worthy of-presbyterate having-gathered
ἀδελφότητα ἀνδρῶν τε καὶ γυναικῶν, διὰ τῆς σεμνῆς
(a)-brotherhood of-men both and women through the august
πολιτείας καὶ τὸ ἑαυτοῦ ἄρρεν τῆς ἐπιθυμίας ἐλάσας
way-of-life both the his-own male from-the desire having-driven-out
καὶ τὸ τῶν γυναικῶν θῆλυ τῇ ἐγκρατείᾳ φιμώσας, ὡς
and the of-the women female by-the self-control having-muzzled so-that
πληροῦσθαι τὸ γεγραμμένον· Ἐν Χριστῷ Ἰησοῦ οὐκ
to-be-fulfilled the(-thing) written in Christ Jesus not
ἔνι ἄρσεν καὶ θῆλυ. ἔστι δὲ καὶ φιλόξενος καίπερ ὢν
there-is male and female he-is and also hospitable although being
ἀκτήμων, εἰς ἔλεγχον τῶν ἀμεταδότων πλουσίων.
without-possessions for (the)-reproof of-the unsharing rich
50 Ἔγνων γέροντα Παλαιστῖνόν τινα Γαδδανᾶν ὀνόματι, ὃς
I-knew old-man Palestinian a-certain Gaddanas by-name who
τὸν ἄστεγον ἔζησε βίον εἰς τοὺς περὶ τὸν Ἰορδάνην τόπους.
the roofless lived life in the around — (the)-Jordan places
τούτῳ ποτὲ Ἰουδαῖοι κατὰ ζῆλον ἐπιθέμενοι ἐν τοῖς
on-him once Jews from zeal having-set-upon(-him) in the
περὶ τὴν Νεκρὰν θάλασσαν τόποις ξίφος γυμνώσαντες
around the Dead sea places (a)-sword having-bared
ἐπῆλθον. καὶ συνέβη πρᾶγμα τοιοῦτον· ἐν τῷ τὸ
came-against(-him) and happened (a)-thing such in the the
ξίφος ἐπᾶραι καὶ βουληθῆναι σπᾶσαι κατὰ τοῦ Γαδδανᾶ
sword to-lift and to-wish to-draw(-it) against — Gaddanas

ἀπεξηράνθη ἡ χεὶρ τοῦ τὸ ξίφος γυμνώσαντος,
was-withered the hand of-the(-one) the sword having-bared
πεσόντος τοῦ ξίφους ἀπὸ τῆς δεξιᾶς τοῦ ἔχοντος.
having-fallen the sword from the right(-hand) of-the(-one) holding(-it)
Ἠλίας πάλιν μονάζων ἐν τοῖς αὐτοῖς τόποις ἐν σπηλαίῳ 51
Elias again solitary in the same places in (a)-cave
κατῴκει σεμνοτάτου βίου καὶ ἐνθέσμου ὑπάρχων. οὗτος
dwelt of-most-august life and lawful being this(-man)
μιᾶς τῶν ἡμερῶν ἀδελφῶν αὐτῷ ἐπεληλυθότων πλειόνων,
on-one of-the days brothers to-him having-come many
ἦν γὰρ πάροδος ὁ τόπος, ἐλείφθη ἄρτων. καὶ
was for (a)-thoroughfare the place was-left-short of-loaves and
ἐπληροφόρησεν ἡμᾶς ὅτιπερ Λιποθυμήσας ἐν τῷ πράγματι
he-fully-assured us that having-fainted at the matter
εἰσελθὼν ἐν τῷ κελλίῳ τρεῖς εὗρον ἄρτους νεαρούς·
having-gone into the cell three I-found loaves fresh
καὶ φαγόντων εἴκοσι ὄντων εἰς κόρον ἀπ᾽ αὐτῶν εἷς
and having-eaten twenty being to satiety from them one
περιέσσευσεν, ᾧ ἐχρησάμην ἐπὶ εἰκοσιπέντε ἡμέρας.
was-left-over which I-used for twenty-five days
Σαβᾶς τις ὀνόματι, κοσμικός, τῷ γένει Ἰεριχούντιος, 52
Sabas a-certain by-name worldly by-the race of-Jericho
γυναῖκα ἔχων, τοσοῦτον ἐγένετο φιλομόναχος ὡς κυκλεύειν
(a)-wife having so-much became monk-loving as to-go-round
ἀνὰ τὰς κέλλας καὶ τὴν ἔρημον ἐν ταῖς νυξί, καὶ καθ᾽
through the cells and the desert in the nights and at
ἑκάστην μονὴν ἔξω τιθέναι φοινίκων μόδιον ἕνα καὶ
each dwelling outside to-put of-dates measure one and
λαχάνων τὸ αὔταρκες, διὰ τὸ μὴ ἐσθίειν ἄρτον τοὺς
of-vegetables the sufficient because-of the not to-eat bread the
ἀσκητὰς τοὺς κατὰ τὸν Ἰορδάνην. τούτῳ μιᾶς τῶν ἡμερῶν
ascetics those near — (the)-Jordan this(-man) on-one of-the days

λέων ὑπήντησε, καὶ καταλαβὼν αὐτὸν ἀπὸ σημείου ἑνὸς
(a)-lion met and having-caught him from mile one
ὦσε καὶ κατέστρεψε, καὶ τὸν ὄνον λαβὼν ἀνεχώρησεν.
pushed and overturned(-him) and the ass having-taken withdrew

53 Ἀβράμιός τις γέγονε τῷ γένει Αἰγύπτιος, τραχύτατον
Abramius a-certain was by-the race Egyptian (a)-most-rugged
καὶ ἀγριώτατον βίον ζήσας ἐν τῇ ἐρήμῳ. ὃς πληγεὶς
and most-savage life having-lived in the desert who struck
τὴν φρένα ὑπὸ ἀκαίρου οἰήσεως ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ
in-the mind by untimely conceit having-come in the church
διεμάχετο τοῖς πρεσβυτέροις λέγων ὅτι Πρεσβύτερος
fought-with the presbyters saying that presbyter
ἐχειροτονήθην παρὰ τοῦ Χριστοῦ ταύτῃ τῇ νυκτί, καὶ
I-was-ordained by — Christ this the night and
δέξασθέ με ἱερατεύοντα. ὃν οἱ πατέρες διαχωρίσαντες τῆς
receive me officiating whom the fathers having-separated from-the
ἐρήμου, καὶ ἐπὶ τὸν παχύτερον καὶ ἀδιαφορώτερον ἀγαγόντες
desert and to the coarser and more-indifferent having-led
βίον, ἀπεθεράπευσαν τῆς ὑπερηφανίας, εἰς γνῶσιν αὐτὸν
life healed of-the pride into knowledge him
ἀγαγόντες τῆς οἰκείας ἀσθενείας παιχθέντα ὑπὸ τοῦ δαίμονος.
having-led of-the own weakness mocked by the demon

54 Περὶ τῆς θαυμασίας καὶ ἁγίας Μελανίας ἀκροθιγῶς μὲν
about the wonderful and holy Melania superficially indeed
καὶ ἄνω διηγησάμην, οὐδὲν ἧττον καὶ τὰ λείψανα νῦν
also above I-related nothing less also the remnants now
ἐξυφανῶ τῷ λόγῳ. αὕτη μὲν ὅσην ὕλην ἀνήλωσεν
I-will-weave-in into-the account she indeed how-much matter spent
ἐν τῷ θείῳ ζήλῳ καθάπερ πυρὶ φλέξασα οὐκ ἐμὸν τὸ
in the divine zeal as with-fire having-burned(-it) not mine the
διηγήσασθαι ἀλλὰ καὶ τῶν τὴν Περσίδα οἰκούντων. τῆς
to-relate but also of-those the Persia dwelling from-the

γὰρ εὐποιίας αὐτῆς οὐκ ἠστόχησεν οὐδείς, οὐκ ἀνατολὴ
for beneficence her not missed anyone not east
οὐ δύσις οὐκ ἄρκτος οὐ μεσημβρία. τριακοστὸν μὲν γὰρ
not west not north not south thirtieth indeed for
καὶ ἕβδομον ἔτος ξενιτεύσασα ἰδίοις ἀναλώμασιν ἐπήρκεσε
and seventh year living-abroad with-own means she-supplied
καὶ ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξένοις καὶ φυλακαῖς,
both churches and monasteries and strangers and prisons
χορηγούντων αὐτῇ καὶ τῶν πρὸς γένος καὶ αὐτοῦ τοῦ υἱοῦ
furnishing her both those of family and himself the son
καὶ τῶν ἰδίων ἐπιτρόπων τὰ χρήματα. ἥτις ἐπὶ τοσοῦτον
and the own stewards the money who for so-long
ἐγκαρτερήσασα τῇ ξενιτείᾳ οὐδὲ σπιθαμὴν ἐκτήσατο
having-persevered in-the living-abroad not-even (a)-span acquired
γῆς, οὐκ ἐξειλκύσθη ὑπὸ τῆς τοῦ υἱοῦ ἐπιθυμίας, οὐκ
of-land not was-dragged-away by the of-the son longing not
ἐμέρισεν αὐτὴν τῆς πρὸς τὸν Χριστὸν ἀγάπης ὁ τοῦ
divided her from-the for — Christ love the of-the
μονογενοῦς υἱοῦ πόθος· ἀλλὰ ταῖς προσευχαῖς αὐτῆς ὁ
only-begotten son longing but by-the prayers her the
νεώτερος εἰς ἄκρον παιδείας καὶ τρόπων ἤλασε καὶ
young(-man) to (the)-height of-education and manners drove and
γάμον τὸν ἐπίδοξον, καὶ ἔντος τῶν κοσμικῶν ἀξιωμάτων
marriage the renowned and within the worldly dignities
ἐγένετο· ὃς ἔσχε καὶ τέκνα δύο. μετὰ πολλοὺς οὖν
came who had also children two after many then
χρόνους ἀκούσασα περὶ τῆς καταστάσεως τῆς ἐγγόνης,
times having-heard about the state of-the granddaughter
ὅτι ἔγημε καὶ προαιρεῖται ἀποτάξασθαι, φοβηθεῖσα
that she-married and chooses to-renounce having-feared
μήποτε περιρραγῶσι κακοδιδασκαλίᾳ ἢ αἱρέσει ἢ κακοζωίᾳ,
lest they-be-torn-apart by-false-teaching or heresy or evil-living

ἑξήκοντα ἐτῶν γραῦς ἐνέβαλεν ἑαυτὴν εἰς πλοῖον, καὶ
sixty years-old old-woman threw herself into (a)-boat and
ἀπὸ τῆς Καισαρέων ἀποπλεύσασα δι᾽ εἴκοσι ἡμερῶν
from the of-Caesareans(-city) having-sailed-away through twenty days
παραγίνεται εἰς τὴν Ῥώμην. κἀκεῖσε συντυχοῦσα τὸν μὲν
arrives at — Rome and-there having-met the indeed
μακαριώτατον ἄνδρα καὶ ἀξιόλογον Ἀπρονιανόν, Ἕλληνα
most-blessed man and notable Apronianus (a)-pagan
ὄντα, κατήχησε καὶ χριστιανὸν ἐποίησε, πείσασα αὐτὸν
being she-instructed and Christian made(-him) having-persuaded him
καὶ ἐγκρατεύεσθαι μετὰ τῆς ἰδίας γυναικός, ἀνεψιᾶς
also to-practice-continence with the own wife (a)-niece
ταύτης, καλουμένης Ἀβίτας. στερεώσασα δὲ καὶ τὴν ἰδίαν
of-her called Avita having-strengthened and also the own
ἐγγόνην Μελανίαν σὺν τῷ ταύτης ἀνδρὶ Πινιανῷ, καὶ
granddaughter Melania with the her husband Pinianus and
κατηχήσασα Ἀλβίναν τὴν ἑαυτῆς νύμφην, γυναῖκα δὲ
having-instructed Albina the her-own daughter-in-law wife and
τοῦ υἱοῦ αὐτῆς, καὶ παρασκευάσασα πάντας τούτους
of-the son her and having-prepared all these
διαπωλῆσαι τὰ ὑπάρχοντα αὐτοῖς, τῆς Ῥώμης ἐξήγαγε,
to-sell the possessions to-them — from-Rome she-led(-them)-out
καὶ ἐπὶ τὸν σεμνὸν καὶ γαληνιῶντα λιμένα τοῦ βίου ἤγαγε.
and to the august and calm harbor of-the life led(-them)
καὶ οὕτως πρὸς πάντας ἐθηριομάχησε τοὺς συγκλητικοὺς
and thus against all she-fought-with-beasts the senators
καὶ τὰς ἐλευθέρας κωλύοντας αὐτὴν ἐπὶ τῇ ἀποταξίᾳ τῶν
and the noblewomen hindering her at the renunciation of-the
λοιπῶν οἴκων. ἡ δὲ ἔλεγεν αὐτοῖς· Παιδία, γέγραπται πρὸ
remaining houses she and said to-them children it-is-written before
τετρακοσίων ἐτῶν ὅτι Ἐσχάτη ὥρα ἐστί. τί ἐμφιλοχωρεῖτε
four-hundred years that (the)-last hour it-is why do-you-linger-fondly

τῇ ματαιότητι τοῦ βίου, μήποτε φθάσωσιν αἱ ἡμέραι τοῦ
in-the vanity of-the life lest overtake the days of-the
ἀντιχρίστου, καὶ μὴ ἀπολαύσητε ὑμῶν τοῦ πλούτου καὶ τῶν
antichrist and not you-enjoy your the wealth and the
προγονικῶν πραγμάτων. καὶ τούτους πάντας ἐλευθερώσασα
ancestral possessions and these all having-freed
ἤγαγεν ἐπὶ τὸν μονήρη βίον. καὶ τὸν Πουπλικουλᾶ δὲ υἱὸν
she-led to the solitary life and the of-Publicola and son
τὸν νεώτερον κατηχήσασα ἤγαγεν ἐπὶ τὴν Σικελίαν· καὶ
the younger having-instructed she-led to — Sicily and
πάντα αὐτῆς τὰ ὑπόλοιπα διαπωλήσασα καὶ τὰς τιμὰς
all her the remaining(-things) having-sold and the prices
λαβοῦσα ἦλθεν ἐπὶ τὰ Ἱεροσόλυμα· καὶ διανείμασα τὰς
having-taken she-came to — Jerusalem and having-distributed the
ὕλας ἐντὸς τεσσαράκοντα ἡμερῶν ἐκοιμήθη ἐν γήρᾳ καλῷ
goods within forty days fell-asleep in old-age good
καὶ βαθυτάτῃ πραότητι, καταλείψασα καὶ μοναστήριον ἐν
and deepest meekness having-left also (a)-monastery in
Ἱεροσολύμοις καὶ τὰ τούτου ἀναλώματα.
Jerusalem and the of-it means
Ὡς δὲ πάντες οὗτοι ἀπέστησαν τῆς Ῥώμης θύελλά τις
when and all these departed — from-Rome storm some
βαρβαρική, ἥ καὶ ἐν προφητείαις πάλαι κειμένη, ἐπέστη
barbaric which also in prophecies of-old lying came-upon
τῇ Ῥώμῃ, καὶ οὐκ εἴασεν οὐδὲ τοὺς ἐπ᾽ ἀγορᾶς
— Rome and not spared not-even the in (the)-marketplace
ἀνδριάντας χαλκοῦς, ἀλλὰ πάντα πορθήσασα βαρβαρικῇ
statues bronze but all having-sacked with-barbaric
ἀπονοίᾳ παρέδωκεν ἀπωλείᾳ· ὡς γενέσθαι τὴν Ῥώμην,
madness gave-over to-destruction so-as to-become — Rome
τὴν ἐν χιλίοις ἔτεσι καὶ διακοσίοις φιλοκαληθεῖσαν,
the(-one) in thousand years and two-hundred adorned

ἐρίπιον. τότε οἱ κατηχηθέντες καὶ οἱ ἐναντιωθέντες τῇ
(a)-ruin then those instructed and those having-opposed the
κατηχήσει ἐδόξασαν τὸν θεὸν τὸν τῇ μεταβολῇ τῶν
instruction glorified — God the(-one) by-the change of-the
πραγμάτων πείσαντα τοὺς ἀπίστους ὅτι τῶν ἄλλων
affairs having-persuaded the unbelieving that of-the others
πάντων αἰχμαλωτισθέντων οὗτοι μόνοι διεσώθησαν οἱ οἶκοι,
all having-been-taken-captive these alone were-saved the houses
ὁλοκαυτώματα γενόμενοι τῷ κυρίῳ σπουδῇ Μελανίας.
whole-burnt-offerings having-become to-the Lord by-(the)-zeal of-Melania
55 Συνέβη ἅμα ὁδεύειν ἡμᾶς ἀπὸ Αἰλίας ἐπὶ τὴν Αἴγυπτον,
it-happened together to-travel us from Aelia to — Egypt
προπέμποντας τὴν μακαρίαν Σιλβανίαν τὴν παρθένον
escorting the blessed Silvania the virgin
γυναικαδέλφην Ῥουφίνου τοῦ ἀπὸ ἐπάρχων· ἐν οἷς ἦν
sister-in-law of-Rufinus the(-one) of prefect(-rank) among whom was
σὺν ἡμῖν καὶ Ἰουβῖνος, τὸ τηνικαῦτα μὲν διάκονος νυνὶ δὲ
with us also Jubinus the then indeed deacon now but
ἐπίσκοπος τῆς Ἀσκάλωνος ἐκκλησίας, ἀνὴρ εὐλαβὴς καὶ
bishop of-the of-Ascalon church (a)-man pious and
φιλόλογος. σφοδροτάτου οὖν καύματος καταλαβόντος ἡμᾶς
learned most-vehement then heat having-overtaken us
καὶ καταντησάντων ἡμῶν εἰς τὸ Πηλούσιον, ἔτυχε τὸν
and having-arrived us at — Pelusium it-happened —
Ἰουβῖνον νιπτῆρα λαβόντα νίψασθαι τὰς χεῖρας καὶ τοὺς
Jubinus (a)-basin having-taken to-wash the hands and the
πόδας πυγμῇ ὕδατι ψυχροτάτῳ, καὶ μετὰ τὸ νίψασθαι
feet with-(the)-fist with-water most-cold and after the to-wash
δερμοτύλῳ ἐπαναπαῆναι ῥιφέντι κατὰ τοῦ ἐδάφους.
on-(a)-leather-mat to-rest thrown on the ground
ἐπιστᾶσα ἐκείνη ὡς μήτηρ σοφὴ υἱοῦ γνησίου
having-stood-over(-him) she as (a)-mother wise of-(a)-son genuine

ἐπέσκωπτεν αὐτοῦ τῇ ἁπαλότητι λέγουσα· Πῶς θαρρεῖς
mocked his the softness saying how do-you-dare
ταύτην ἄγων τὴν ἡλικίαν ἔτι ζῶντος τοῦ αἵματός σου οὕτω
this leading the age still living the blood your so
φιλοκαλεῖν τὸ σαρκίον, μὴ αἰσθανόμενος τῶν ἐξ αὐτοῦ
to-pamper the little-flesh not perceiving the(-things) from it
τικτομένων βλαβερῶν; θάρσει, θάρσει ὅτι ἑξηκοστὸν ἄγω
born harmful(-things) take-courage take-courage that sixtieth I-lead
ἔτος τῆς ἡλικίας, ἐκτὸς τῶν ἄκρων τῶν χειρῶν οὐ ποῦς
year of-the age except the tips of-the hands not (the)-foot
μου ἥψατο ὕδατος οὐκ ὄψις οὐδὲ ἓν τῶν μελῶν, καίπερ
my touched water not (the)-face nor one of-the members although
διαφόροις ληφθεῖσα ἀρρωστίαις, καὶ ὑπὸ τῶν ἰατρῶν
by-various seized sicknesses and by the physicians
ἀναγκαζομένη οὐκ ἠνεσχόμην ἀποδοῦναι τῇ σαρκὶ τὸ
being-compelled not I-endured to-give-back to-the flesh the
ἔθος, οὐκ ἐπὶ κλίνης ἀναπαεῖσα οὐ λεκτικίῳ ὥδευσά που.
custom not on (a)-bed having-rested not in-(a)-litter traveled anywhere
Αὕτη λογιωτάτη γενομένη ἣ καὶ φιλήσασα τὸν λόγον
she most-learned having-become who also having-loved the word
τὰς νύκτας εἰς ἡμέρας μετέβαλε πᾶν σύγγραμμα τῶν
the nights into days changed every writing of-the
ἀρχαίων ὑπομνηματιστῶν διελθοῦσα· ἐν οἷς Ὠριγένους
ancient commentators having-gone-through among which of-Origen
μυριάδας τριακοσίας, Γρηγορίου καὶ Στεφάνου καὶ Πιερίου
myriads three-hundred of-Gregory and Stephen and Pierius
καὶ Βασιλείου καὶ ἑτέρων τινῶν σπουδαιοτάτων μυριάδας
and Basil and other some most-zealous myriads
εἰκοσιπέντε· οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε διελθοῦσα,
twenty-five not simply nor as it-chanced having-gone-through
ἀλλὰ πεπονημένως ἕκαστον βιβλίον ἕβδομον ἢ ὄγδοον
but laboriously each book (a)-seventh(-time) or eighth

διελθοῦσα. διὸ καὶ ἠδυνήθη ψευδωνύμου γνώσεως
having-gone-through wherefore also she-was-able of-falsely-named knowledge
ἐλευθερωθεῖσα πτερωθῆναι τῇ χάριτι τῶν λόγων
freed to-be-winged by-the grace of-the words
ἐλπίσι χρησταῖς ἑαυτὴν ὄρνιν ἐργασαμένη πνευματικὴν
with-hopes good herself (a)-bird having-made spiritual
διαπεράσασα πρὸς τὸν Χριστόν.
having-crossed to — Christ

56 Ταύτης κατ᾽ ὄπιν καὶ ἴχνος ἡ σεμνοτάτη Ὀλυμπιὰς καὶ
of-her in track and footstep the most-august Olympias and
ζηλωτικωτάτη βαίνουσα ἠκολούθησε τῇ γνώμῃ· θυγάτηρ
most-zealous walking followed the mind daughter
μὲν γενομένη Σελεύκου τοῦ ἀπὸ κομήτων, ἐγγόνη
indeed having-been of-Seleucus the(-one) of count(-rank) granddaughter
δὲ Ἀβλαβίου τοῦ ἀπὸ ἐπάρχων, νύμφη δὲ πρὸς ὀλίγας
and of-Ablabius the(-one) of prefect(-rank) bride and for few
ἡμέρας Νεβριδίου τοῦ ἀπὸ ἐπάρχων τῆς πόλεως,
days of-Nebridius the(-one) of prefect(-rank) of-the city
γυνὴ δὲ οὐδενός· λέγεται γὰρ κεκοιμῆσθαι παρθένος,
wife but of-no-one it-is-said for to-have-fallen-asleep (a)-virgin
ἀλλὰ σύμβιος τοῦ λόγου τῆς ἀληθείας. ἥτις πάντα
but partner of-the word of-the truth who all
διασκορπίσασα ἑαυτῆς τὰ ὑπάρχοντα διέδωκε πτωχοῖς·
having-scattered her-own the possessions distributed(-them) to-poor(-people)
οὐ μικροὺς ἀγῶνας ἀγωνισαμένη ὑπὲρ ἀληθείας, πολλάς τε
not small contests having-contended for truth many both
κατηχήσασα γυναῖκας, καὶ σεμνολογήσασα πρεσβυτέρους,
having-instructed women and having-spoken-reverently-to presbyters
καὶ τιμήσασα ἐπισκόπους, καὶ ὁμολογίας κατηξιώθη τῆς
and having-honored bishops also of-confession was-deemed-worthy the(-one)
ὑπὲρ ἀληθείας· ἧς τὸν βίον ἐν ὁμολογηταῖς κρίνουσιν
for truth whose the life among confessors reckon

οἱ Κωνσταντινούπολιν οἰκοῦντες, οὕτως τελευτησάσης καὶ
those Constantinople dwelling thus having-died and
πρὸς κύριον ἐκδημησάσης ἐν τοῖς κατὰ θεὸν ἀγῶσιν.
to (the)-Lord having-departed in the according-to God contests
Ἧς κατ᾽ ὄπιν καὶ ὡς ἐν ἐσόπτρῳ ἡ μακαρία Κανδίδα, ἡ 57
whose in track and as in (a)-mirror the blessed Candida the
Τραϊανοῦ τοῦ στρατηλάτου θυγάτηρ, ἀξίως βιώσασα καὶ εἰς
of-Trajan the general daughter worthily having-lived and to
ἄκρον σεμνότητος ἐλάσασα, ἐκκλησίας τε καὶ ἐπισκόπους
(the)-height of-gravity having-driven churches both and bishops
τιμήσασα, τὴν μὲν ἰδίαν θυγατέρα κατηχήσασα εἰς τὸν
having-honored the indeed own daughter having-instructed into the
τῆς παρθενίας κλῆρον προέπεμψε πρὸς Χριστόν, δῶρον
of-the virginity lot sent-forward to Christ (a)-gift
τῶν ἑαυτῆς λαγόνων, ἐς ὕστερον σωφροσύνῃ καὶ ἁγνείᾳ
of-the her-own loins at later by-temperance and chastity
καὶ τοῖς τῶν χρημάτων σκορπισμοῖς ἐπακολουθήσασα τῇ
and by-the of-the money scatterings having-followed the
ἑαυτῆς θυγατρί. ταύτην ἔγνων ἐγὼ διὰ πάσης νυκτὸς
her-own daughter her knew I through all (the)-night
κοπιῶσαν καὶ ἀλήθουσαν ταῖς χερσὶν ἐπὶ καθαιρέσει τοῦ
toiling and grinding with-the hands for (the)-pulling-down of-the
σώματος, διηγουμένην ὅτι Τῆς νηστείας μὴ ἐπαρκούσης
body relating that the fasting not sufficing
σύμμαχον δίδωμι καὶ τὴν ἐπίμοχθον ἀγρυπνίαν, ἵνα
(an)-ally I-give also the toilsome vigil that
καταλύσω τὸ φρύαγμα τοῦ Ἠσαῦ. ἥτις ἐναίμων μὲν
I-may-break-down the insolence — of-Esau who blood(-things) indeed
καὶ ἐμψύχων εἰς ἄκρον ἀπέσχετο, ἰχθύος δὲ καὶ λαχάνων
and living(-things) to (the)-height abstained-from of-fish but and vegetables

μετ᾽ ἐλαίου λαμβάνουσα ἐν ἑορτῇ, οὕτω διετέλεσεν
with oil partaking on (a)-feast thus she-continued
ὀξυκράματι καὶ ξηρῷ ἄρτῳ ἀρκουμένη.
with-vinegar-water and dry bread being-content
Ταύτης κατὰ ζῆλον ὥδευσεν εὐσεβῶς τὸν τῆς παρθενίας
of-her in emulation walked piously the of-the virginity
ζυγὸν ἑλκύσασα ἡ σεμνοτάτη Γελασία, θυγάτηρ τριβούνου
yoke having-drawn the most-august Gelasia daughter of-(a)-tribune
γενομένη· ἧς ἀρετὴ φέρεται αὕτη, ὅτι ἥλιος οὐδέποτε ἔδυ
having-been whose virtue is-reported this that (the)-sun never set
ἐπὶ λύπῃ αὐτῆς, οὐ κατὰ οἰκέτου, οὐ κατὰ θεραπαινίδος,
on grief her not against servant not against maidservant
οὐ κατά τινος ἑτέρου.
not against anyone other

XV · ANTINOE AND THE YOUNGER MELANIA

At Antinoe, where Palladius spends four years, twelve hundred monks live round the city, among them Solomon, Dorotheus, the philosopher Diocles, Capito, and an anchorite ruined by vainglory. The old Amatalis lives with sixty young women, and Taor never leaves the house. A virgin is told by the martyr Colluthus to dine with him, and dies that night. The younger Melania, married at thirteen, persuades her husband Pinianus to renounce the world and gives away her fortune. Pammachius and others follow, and a virgin of Alexandria hides Athanasius for six years.

58 Ἐν Ἀντινόῳ τῆς Θηβαΐδος διατρίψας τέσσαρα ἔτη ἐν
in Antinoe — of-(the)-Thebaid having-spent four years in
τοσούτῳ χρόνῳ καὶ γνῶσιν εἴληφα τῶν ἐκεῖ μοναστηρίων.
so-much time also knowledge I-have-taken of-the there monasteries
καθέζονται μὲν γὰρ ἀμφὶ τὴν πόλιν ἄνδρες ὡς χίλιοι
sit indeed for around the city men about thousand

διακόσιοι, ταῖς χερσὶν ἀποζῶντες, εἰς ἄκρον ἀσκούμενοι.
two-hundred by-the hands living to (the)-height practicing-discipline
ἐν τούτοις εἰσὶ καὶ ἀναχωρηταὶ ἐν τοῖς σπηλαίοις τῶν
among these are also anchorites in the caves of-the
πετρῶν ἑαυτοὺς ἐγκαθείρξαντες· ἐν οἷς ἐστι Σολομών
rocks themselves having-shut-in among whom is Solomon
τις, ἀνὴρ πραότατος καὶ σώφρων καὶ ὑπομονῆς
a-certain (a)-man most-gentle and temperate and of-endurance
ἔχων χάρισμα· ὃς ἔλεγεν ἔχειν πεντηκοστὸν ἔτος ἐν τῷ
having (the)-gift who said to-have fiftieth year in the
σπηλαίῳ, ἐπαρκέσας ἑαυτῷ ἐκ τοῦ ἔργου τῶν χειρῶν
cave having-sufficed himself from the work of-the hands
καὶ ἐκμαθὼν πᾶσαν ἁγίαν γραφήν.
and having-learned-thoroughly all holy scripture
Δωρόθεος ἐν ἄλλῳ σπηλαίῳ οἰκῶν πρεσβύτερος, ὑπερβολῇ
Dorotheus in another cave dwelling presbyter to-excess
ἀγαθώτατος, καὶ αὐτὸς ζήσας τὸν ἀνεπίληπτον βίον,
most-good and he-too having-lived the irreproachable life
πρεσβυτερίου δὲ ἠξιωμένος καὶ λειτουργῶν τοῖς
of-presbyterate and having-been-deemed-worthy and ministering to-the
ἀδελφοῖς τοῖς ἐν τοῖς σπηλαίοις. τούτῳ ποτὲ Μελανία
brothers those in the caves to-this(-man) once Melania
ἡ νεωτέρα, τῆς μεγάλης Μελανίας ἐγγόνη, περὶ ἧς
the younger of-the great Melania granddaughter about whom
ἐς ὕστερον λέξω, ἀπέστειλε πεντακόσια νομίσματα,
at later I-will-tell sent five-hundred coins
παρακαλέσασα αὐτὸν διακονῆσαι τοῖς ἐκεῖ ἀδελφοῖς. ὁ
having-begged him to-minister to-the there brothers he
δὲ τρία λαβὼν μόνα, τὰ λοιπὰ παρέπεμψε Διοκλεῖ τῷ
but three having-taken only the rest sent-on to-Diocles the
ἀναχωρητῇ, ἀνδρὶ γνωστικωτάτῳ, λέγων ὅτι Σοφώτερός
anchorite (a)-man most-knowing saying that wiser

μού ἐστιν ὁ ἀδελφὸς Διοκλῆς, καὶ δύναται αὐτὰ ἀβλαβῶς
than-me is the brother Diocles and can them harmlessly
διοικῆσαι, ἐπιστάμενος τοὺς ὀφείλοντας ἐπικουρηθῆναι
administer knowing those ought to-be-helped
εὐλόγως· ἐγὼ γὰρ τούτοις ἀρκοῦμαι.
reasonably I for with-these am-content
Οὗτος ὁ Διοκλῆς ἀπὸ γραμματικῆς μὲν ἀχθεὶς τὰ
this — Diocles from grammar indeed having-been-led the
πρῶτα, ἐς ὕστερον δὲ δοὺς ἑαυτὸν εἰς φιλοσοφίαν τῷ
first(-things) at later and having-given himself to philosophy in-the
χρόνῳ τῆς χάριτος αὐτὸν ἑλκυσάσης, εἰς εἰκοστὸν ὄγδοον
time the grace him having-drawn in twentieth eighth
ἔτος ἄγων τὴν ἡλικίαν ἀπετάξατο μὲν τῶν ἐγκυκλίων
year leading the age renounced indeed the general
μαθημάτων, συνετάξατο δὲ τῷ Χριστῷ, καὶ αὐτὸς ἔχων
studies enlisted and — with-Christ also he having
τριακοστὸν πέμπτον ἔτος ἐν τοῖς σπηλαίοις. ὃς ἔλεγεν
thirtieth fifth year in the caves who said
ἡμῖν ὅτι Νοῦς ἀποστὰς θεοῦ ἐννοίας ἢ κτῆνος γίνεται
to-us that mind having-departed of-God from-thought either (a)-beast becomes
ἢ δαίμων· καὶ τὴν μὲν ἐπιθυμίαν ἔλεγε κτηνώδη, τὸν δὲ
or (a)-demon and the indeed desire he-called beastly the and
θυμὸν δαιμονιώδη. ἐμοῦ δὲ ἀντιλέγοντος ὅτι Πῶς δυνατὸν
anger demonic me and objecting that how possible
ἀδιαλείπτως εἶναι νοῦν ἀνθρώπινον μετὰ θεοῦ; ἔλεγεν
unceasingly to-be (a)-mind human with God said
ὁ αὐτὸς ὅτι Ἐν οἵῳ δ' ἂν νοήματι ἢ πράγματι εἴη
the same that in whatever and — thought or deed may-be
ἡ ψυχὴ εὐσεβεῖ καὶ θεϊκῷ, μετὰ θεοῦ ἐστιν.
the soul pious and divine with God it-is

Τούτου πλησίον Καπίτων τις ἔμενεν ἀπὸ λῃστῶν·
of-this(-man) near Capito a-certain stayed from robbers
ὃς πεντήκοντα ἔτη πληρώσας ἐν τοῖς σπηλαίοις ἀπὸ
who fifty years having-completed in the caves from
τεσσάρων μιλίων τῆς πόλεως Ἀντινόου οὐ κατῆλθεν ἐκ
four miles of-the city of-Antinoe not came-down from
τοῦ σπηλαίου οὐδὲ μέχρι τοῦ ποταμοῦ τοῦ Νείλου,
the cave not-even as-far-as the river — (the)-Nile
λέγων μηδέπω δύνασθαι συντυγχάνειν τοῖς ὄχλοις τῷ
saying not-yet to-be-able to-meet the crowds by-the
ἀκμὴν ἀντιπράττειν αὐτῷ τὸν ὑπεναντίον.
still to-oppose him the adversary
Σὺν τούτοις ἑωράκαμεν καὶ ἕτερον ἀναχωρητὴν ὁμοίως καὶ
with these we-have-seen also another anchorite likewise also
αὐτὸν ἐν σπηλαίῳ· ὃς οἴστρῳ κενοδοξίας ἐμπαιζόμενος
himself in (a)-cave who by-(the)-gadfly of-vainglory being-mocked
ὑπὸ ὀνείρων, ἀντέπαιζε τοὺς ἀπατωμένους, ἀνέμους
by dreams mocked-back those deceived winds
ποιμαίνων. καὶ τὴν μὲν κατὰ σῶμα σωφροσύνην
shepherding and the indeed according-to body temperance
εἶχε καὶ διὰ τὸ γῆρας καὶ διὰ τὸν χρόνον, τάχα
he-had both because-of the old-age and because-of the time perhaps
καὶ διὰ τὴν κενοδοξίαν· διέφθαρτο δὲ αὐτοῦ τὸ
also because-of the vainglory was-corrupted but his the(-thing)
φρονοῦν τῇ ἀκολασίᾳ τῆς κενοδοξίας.
minding by-the licentiousness of-the vainglory
Ἐν ταύτῃ τῇ πόλει Ἀντινόῳ ἐστὶ μοναστήρια γυναικῶν 59
in this the city Antinoe are monasteries of-women
δώδεκα, ἐν οἷς καὶ συντετύχηκα Ἀματαλίδι γραΐδι
twelve among which also I-have-met-with Amatalis (an)-old-woman
ὀγδοήκοντα ἔτη ἐχούσῃ ἐν τῇ ἀσκήσει, ὡς καὶ αὐτὴ
eighty years having in the discipline as both she

καὶ αἱ γειτνιῶσαι διηγοῦντο. ταύτῃ συνῴκουν ἑξήκοντα
and the neighbors related with-her lived sixty
νεάνιδες αἳ τοσοῦτον αὐτὴν ἠγάπων ὡς μηδὲ κλεῖδα
young-women who so-much her loved that not-even (a)-key
ἐφεστάναι τῇ αὐλῇ τοῦ μοναστηρίου, ὡς ἐν ἄλλοις, ἀλλὰ
to-be-set on-the court of-the monastery as in others but
κρατεῖσθαι αὐτὰς ὑπὸ τῆς ἀγάπης ταύτης. εἰς τοσοῦτον
to-be-held them by the love this to so-much
δὲ ἀπαθείας ἤλασεν ἡ γραῦς ὡς εἰσελθόντι μοι καὶ
and of-dispassion drove the old-woman that having-entered to-me and
καθεσθέντι ἐλθεῖν καὶ συγκαθεσθῆναί μοι, καὶ τὰς χεῖρας
having-sat-down to-come and to-sit-beside me and the hands
αὐτῆς ἐπιθεῖναι τοῖς ὤμοις μου ὑπερβολῇ παρρησίας.
her to-lay on-the shoulders my by-excess of-frankness
Ἐν τούτῳ τῷ μοναστηρίῳ παρθένος μαθήτρια ταύτης,
in this the monastery (a)-virgin disciple of-her
Ταὼρ ὀνόματι, ἔχουσα τριάκοντα ἔτη ἐν τῷ μοναστηρίῳ,
Taor by-name having thirty years in the monastery
ἱμάτιον καινὸν ἢ μαφόριον ἢ ὑπόδημα λαβεῖν οὐκ ἠθέλησεν
(a)-cloak new or (a)-veil or (a)-shoe to-take not wished
οὐδέποτε, λέγουσα ὅτι Οὐ χρείαν ἔχω, ἵνα μὴ ἀναγκασθῶ
ever saying that not need I-have that not I-be-compelled
καὶ προελθεῖν. αἱ μὲν γὰρ ἄλλαι πᾶσαι κατὰ κυριακὴν
also to-go-out the indeed for others all on (the)-Lord's-day
προέρχονται ἐν τῇ ἐκκλησίᾳ χάριν τῆς κοινωνίας·
go-out into the church for-the-sake-of the communion
ἐκείνη δὲ μένει ῥακοδυτοῦσα ἐν τῇ μονῇ, ἀδιαλείπτως ἐν
she but remains wearing-rags in the house unceasingly at
τῷ ἔργῳ καθεζομένη. οὕτω δὲ εὐφυεστάτην εἶχε τὴν ὄψιν
the work sitting so and most-comely she-had the face
ὡς ἐγγὺς γενέσθαι καὶ τὸν πάνυ στερρὸν ἀπατᾶσθαι
that near to-come even the(-man) very firm to-be-deceived

τῷ ταύτης κάλλει, εἰ μὴ φρουρὸν εἶχεν ὑπερβάλλοντα
by-the her beauty if not (a)-guard she-had surpassing
τὴν σωφροσύνην εἰς αἰδῶ καὶ φόβον συνωθοῦσα τῇ
the chastity into shame and fear driving by-the
κοσμιότητι τὸν ἀκόλαστον ὀφθαλμόν.
modesty the licentious eye
Ἄλλη τις γειτνιῶσά μοι, ἧς τὴν ὄψιν οὐχ ἑώρακα, 60
another a-certain neighboring me whose the face not I-have-seen
προῆλθε γὰρ οὐδέποτε, ὡς λέγουσιν, ἀφ᾽ οὗ καὶ ἀπετάξατο·
she-came-out for never as they-say from when also she-renounced
πληρώσασα δὲ ἑξήκοντα ἔτη ἐν τῇ ἀσκήσει μετὰ τῆς
having-completed and sixty years in the discipline with the
μητρὸς τῆς ἰδίας, ἐς ὕστερον ἔμελλε μεταβαίνειν τὸν
mother the own at later was-about to-pass-from the
βίον. καὶ παραστὰς αὐτῇ ὁ μάρτυς ὁ ἐν τῷ τόπῳ,
life and having-stood-by her the martyr the(-one) in the place
Κόλλουθος ὀνόματι, λέγει αὐτῇ· Σήμερον μέλλεις ὁδεύειν
Colluthus by-name says to-her today you-are-about to-journey
πρὸς τὸν δεσπότην καὶ ὁρᾶν πάντας τοὺς ἁγίους· ἐλθοῦσα
to the master and to-see all the saints having-come
οὖν ἀρίστησον μεθ᾽ ἡμῶν ἐν τῷ μαρτυρίῳ. ἀναστᾶσα οὖν
so breakfast with us in the shrine having-risen so
ὄρθρου καὶ ἐνδυσαμένη καὶ λαβοῦσα ἐν τῇ σπυρίδι τῇ
at-dawn and having-dressed and having-taken in the basket the
ἑαυτῆς ἄρτον καὶ ἐλαίας καὶ λεπτολάχανα, μετὰ τοσαῦτα
her-own bread and olives and fine-vegetables after so-many
ἔτη ἐξελθοῦσα καὶ ἀπελθοῦσα εἰς τὸ μαρτύριον ηὔξατο.
years having-gone-out and having-gone-off to the shrine prayed
καὶ καιρὸν ἐπιτηρήσασα τῆς πάσης ἡμέρας ἐν ᾧ
and (a)-moment having-watched-for of-the whole day in which
οὐδεὶς ἦν ἔνδον, καθεσθεῖσα προσκαλεῖται τὸν μάρτυρα
no-one was within having-sat-down calls-to the martyr

λέγουσα· Εὐλόγησόν μου τὰ βρώματα, ἅγιε Κόλλουθε, καὶ
saying bless my the foods holy Colluthus and
συνόδευσόν μοι ταῖς προσευχαῖς σου. φαγοῦσα οὖν καὶ
journey-with me with-the prayers your having-eaten so and
πάλιν προσευξαμένη ἦλθε περὶ ἡλίου δυσμὰς ἐν τῷ οἴκῳ.
again having-prayed came about of-(the)-sun setting into the house
καὶ δοῦσα τῇ μητρὶ τῇ ἑαυτῆς σύγγραμμα Κλήμεντος
and having-given to-the mother the her-own (a)-treatise of-Clement
τοῦ Στρωματέως εἰς τὸν προφήτην Ἀμώς, εἶπε· Δὸς αὐτὸ
the Stromatist on the prophet Amos said give it
τῷ ἐπισκόπῳ τῷ ἐξωρισμένῳ, καὶ εἰπὲ αὐτῷ· Εὔξαι περὶ
to-the bishop the exiled and say to-him pray for
ἐμοῦ· ὁδεύω γάρ. καὶ ἐτελεύτησεν ἐν αὐτῇ τῇ νυκτὶ μὴ
me I-journey for and she-died in the-same the night not
πυρέξασα μὴ κεφαλαλγήσασα, ἀλλ' ἑαυτὴν ἐνταφιάσασα.
having-had-fever not having-had-headache but herself having-laid-out-for-burial
61 Ἐπειδὴ προϋπεσχόμην ἀνωτέρω διηγήσασθαι περὶ τῆς
since I-promised above to-tell about the
παιδὸς Μελανίας ἀναγκαίως τὸ χρέος ἀποδίδωμι. οὐ γὰρ
girl Melania necessarily the debt I-repay not for
δίκαιον ὑπεριδόντας τὸ αὐτῆς νεώτερον ἐν σαρκὶ τοσαύτην
(it-is)-just having-overlooked the her youth in flesh such
ἀρετὴν ἀστηλίτευτον καταρρῖψαι, γραΐδων ἀτεχνῶς καὶ
virtue unrecorded to-cast-aside than-old-women truly and
σπουδαίων κατὰ πολὺ διαφέρουσαν. ταύτην βιασάμενοι οἱ
zealous(-ones) by much surpassing her having-forced the
γονεῖς ἤγαγον ἐπὶ γάμον ἐκ τῶν πρώτων τῆς Ῥώμης·
parents led to marriage from the first(-men) — of-Rome
ἥτις ἀεὶ τοῖς διηγήμασι τῆς ἑαυτῆς μάμμης νυττομένη,
who always by-the stories of-the her-own grandmother being-pricked
ἐπὶ τοσοῦτον ἐκεντρώθη ὡς μὴ δυνηθῆναι ἐξυπηρετήσασθαι
to so-much was-goaded that not to-be-able to-serve

τῷ γάμῳ. γενομένων γὰρ αὐτῇ παιδίων ἀρρένων δύο,
the marriage having-been-born for to-her children male two
καὶ ἀμφοτέρων τελευτησάντων, εἰς τοσοῦτον μῖσος τοῦ
and both having-died to such hatred of-the
γάμου ἤλασεν ὡς εἰπεῖν τῷ ἀνδρὶ αὐτῆς Πινιανῷ, τῷ
marriage she-drove that to-say to-the husband her to-Pinianus the
υἱῷ Σευήρου τοῦ ἀπὸ ἐπάρχων, ὅτι Εἰ μὲν αἱρῆσαι
son of-Severus the(-one) of prefect(-rank) that if indeed you-choose
συνασκηθῆναι κἀμοὶ κατὰ τὸν τῆς σωφροσύνης
to-practice-discipline-with me-too according-to the of-the chastity
λόγον, καὶ δεσπότην σε οἶδα καὶ κύριον τῆς ἐμῆς ζωῆς·
rule both master you I-know and lord of-the my life
εἰ δὲ βαρύ σοι τοῦτο καταφαίνεται ὡς νεωτέρῳ,
if but heavy to-you this appears as to-(a)-younger(-man)
πάντα μου λαβὼν τὰ πράγματα ἐλευθέρωσόν μου τὸ
all my having-taken the possessions free my the
σῶμα, ἵνα πληρώσω μου τὴν κατὰ θεὸν ἐπιθυμίαν,
body that I-may-fulfill my the according-to God desire
κληρονόμος γενομένη τῆς μάμμης τοῦ ζήλου, ἧς καὶ τὸ
heir having-become of-the grandmother of-the zeal whose also the
ὄνομα ἔχω. εἰ γὰρ ἐβούλετο παιδοποιεῖν ἡμᾶς ὁ θεός, οὐκ
name I-have if for wished to-beget-children us — God not
ἂν μου ἐλάμβανεν ἄωρα τὰ τεχθέντα. ἐπὶ πολὺ οὖν
— my he-would-take untimely the(-ones) born for long so
ζυγομαχησάντων αὐτῶν ἐς ὕστερον ὁ θεὸς κατοικτείρας
having-struggled them at later — God having-pitied
τὸν νέον ἐνέθηκεν καὶ τούτῳ ζῆλον ἀποταξίας, ὡς
the young(-man) put-in also to-him (a)-zeal of-renunciation so-that
ἐπ᾽ αὐτοὺς πληροῦσθαι τὸ γεγραμμένον· Τί γὰρ
on them to-be-fulfilled the(-thing) written what for
οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; γαμηθεῖσα οὖν
know-you woman whether the husband you-will-save having-been-married so

ἐπὶ δεκατριῶν ἐτῶν καὶ συζήσασα τῷ ἀνδρὶ ἔτη ἑπτά,
at thirteen years and having-lived-with the husband years seven
τῷ εἰκοστῷ ἀπετάξατο. καὶ πρῶτον μὲν τὰ σηρικὰ
in-the twentieth she-renounced and first indeed the silk
ἡμιφόρια τοῖς θυσιαστηρίοις ἐδωρήσατο· τοῦτο δὲ καὶ ἡ
half-garments to-the altars she-gave this and also the
ἁγία πεποίηκεν Ὀλυμπιάς. τὰ δὲ λοιπὰ σηρικὰ συγκόψασα
holy has-done Olympias the and rest silks having-cut-up
διάφορα ἐποίησεν ἐκκλησιαστικὰ ἔπιπλα. τὸν δὲ ἄργυρον
various she-made ecclesiastical furnishings the and silver
καὶ τὸν χρυσὸν ἐμπιστεύσασα Παύλῳ τινὶ πρεσβυτέρῳ,
and the gold having-entrusted to-Paul a-certain presbyter
μοναχῷ Δαλματίας, διὰ θαλάσσης ἀπέστειλεν ἐν τῇ
monk of-Dalmatia through (the)-sea she-sent to the
ἀνατολῇ, Αἰγύπτῳ καὶ Θηβαΐδι νομίσματα μύρια,
east to-Egypt and to-(the)-Thebaid coins ten-thousand
Ἀντιοχείᾳ καὶ τοῖς μέρεσι ταύτης μύρια νομίσματα,
to-Antioch and to-the parts of-it ten-thousand coins
Παλαιστίνῃ νομίσματα μύρια πεντακισχίλια, ταῖς ἐν
to-Palestine coins ten-thousand five-thousand to-the on
νήσοις ἐκκλησίαις καὶ τοῖς ἐν ἐξορίαις νομίσματα μύρια,
islands churches and to-those in exiles coins ten-thousand
ταῖς κατὰ τὴν δύσιν ἐκκλησίαις ὡσαύτως δι' ἑαυτῆς
to-the in the west churches likewise through herself
χορηγοῦσα· ταῦτα πάντα καὶ τετραπλασίονα τούτων
supplying these all and fourfold of-these
ὡς ἐπὶ θεοῦ ἐξαρπάσασα ἐκ τοῦ στόματος λέοντος
as before God having-snatched from the mouth of-(the)-lion
Ἀλαρίχου τῇ πίστει τῇ ἑαυτῆς. ἠλευθέρωσε δὲ τὰ
Alaric by-the faith the her-own she-freed and the
βουληθέντα ἀνδράποδα ὀκτακισχίλια, τὰ λοιπὰ γὰρ οὐκ
having-wished slaves eight-thousand the rest for not

ἐβουλήθησαν ἀλλ᾽ ᾑρήσαντο δουλεῦσαι τῷ ἀδελφῷ αὐτῆς·
wished but chose to-serve the brother her
ᾧ παρεχώρησε πάντας ἀπὸ τριῶν νομισμάτων λαβεῖν.
to-whom she-conceded all for three coins to-take
τὰ δὲ κτήματα τὰ ἐν ταῖς Σπανίαις καὶ Ἀκυτανίᾳ καὶ
the and estates the(-ones) in — Spains and Aquitania and
Ταρακωνησίᾳ καὶ Γαλλίαις διαπωλήσασα, τὰ ἐν Σικελίᾳ
Tarraconensis and Gauls having-sold-off the(-ones) in Sicily
μόνα καὶ Καμπανίᾳ καὶ Ἀφρικῇ ἑαυτῇ καταλείψασα
only and Campania and Africa for-herself having-left
ἐπελάβετο εἰς χορηγίαν μοναστηρίων. αὕτη αὐτῆς ἡ σοφία
she-kept for (the)-supply of-monasteries this her the wisdom
ἡ περὶ τοῦ φορτίου τῶν χρημάτων. ἡ δὲ ἄσκησις
the(-one) about the burden of-the money the and discipline
αὐτῆς ἦν αὕτη· ἤσθιε μίαν παρὰ μίαν — ἐν δὲ ταῖς
her was this she-ate one(-day) beside one in and the
ἀρχαῖς καὶ ὑπὲρ πέντε — εἰς ἐφημερίαν ἑαυτὴν τάξασα
beginnings even beyond five(-days) into (the)-daily-turn herself having-placed
τῶν ἑαυτῆς δουλίδων ἃς καὶ συνασκητρίας εἰργάσατο.
of-the her-own maidservants whom also fellow-ascetics she-made
Ἔχει δὲ μεθ᾽ ἑαυτῆς καὶ τὴν μητέρα Ἀλβίναν ἀσκουμένην
has and with herself also the mother Albina practicing-discipline
ὁμοίως καὶ διασκορπίζουσαν κατ᾽ ἰδίαν πάλιν τὰ
likewise and scattering on (her)-own again the
ἴδια χρήματα. εἰσὶν οὖν οἰκοῦσαι ἐν ἀγροῖς, ποτὲ μὲν
own money they-are so dwelling in fields at-times indeed
Σικελίας ποτὲ δὲ Καμπανίας, μετὰ εὐνούχων δεκαπέντε καὶ
of-Sicily at-times and of-Campania with eunuchs fifteen and
παρθένων ἑξήκοντα, καὶ ἐλευθέρων καὶ δουλίδων. ὁμοίως
virgins sixty both free(-women) and maidservants likewise
καὶ Πινιανὸς ὁ ἀνὴρ αὐτῆς μετὰ μοναζόντων τριάκοντα,
and Pinianus the husband her with monks thirty

ἀναγινώσκων καὶ περὶ κῆπον ἀσχολούμενος καὶ περὶ σεμνὰς
reading and about (a)-garden busied and about holy
συντυχίας. οὐ μικρῶς δὲ καὶ ἡμᾶς πλείονας ὄντας ἐτίμησαν
conversations not slightly and also us more being they-honored
ἀπελθόντας ἐν Ῥώμῃ διὰ τὸν μακάριον Ἰωάννην τὸν
having-gone to Rome on-account-of the blessed John the
ἐπίσκοπον, ἀναπαύσαντες ἡμᾶς καὶ ξενοδοχείᾳ καὶ ἐφοδίοις
bishop having-refreshed us both with-hospitality and with-provisions
δαψιλεστάτοις, μετὰ πολλῆς χαρᾶς καρπούμενοι τὴν αἰώνιον
most-abundant with much joy reaping the eternal
ζωὴν τοῖς θεοδωρήτοις ἔργοις τῆς ἀρίστης πολιτείας.
life by-the God-given works of-the best way-of-life

62 Τούτων συγγενὴς Παμμάχιος ὀνόματι ἀπὸ ἀνθυπάτων
of-these (a)-kinsman Pammachius by-name of proconsul(-rank)
ὁμοίως ἀποταξάμενος ἔζησε τὸν ἄριστον βίον, πάντα τὸν
likewise having-renounced lived the best life all the
ἑαυτοῦ πλοῦτον τὸν μὲν ζῶν διασκορπίσας, τὸν δὲ
his-own wealth the(-part) indeed living having-scattered the(-part) and
τελευτῶν πτωχοῖς καταλείψας· ὁμοίως καὶ Μακάριός τις
dying to-poor(-people) having-left likewise also Macarius a-certain
ἀπὸ βικαρίας, καὶ Κωνστάντιος συγκάθεδρος γενόμενος
of vicar(-rank) and Constantius assessor having-been
τῶν κατὰ τὴν Ἰταλίαν ἐπάρχων, ἄνδρες ἐπίσημοι καὶ
of-the in — Italy prefects men distinguished and
λογικώτατοι καὶ εἰς ἄκρον φιλοθείας ἐλάσαντες· οὓς ἔτι
most-learned and to (the)-height of-love-of-God having-driven whom still
νομίζω καὶ ἐν σαρκὶ ὑπάρχειν τὸν ἄριστον ἐξησκηκότας βίον.
I-think also in flesh to-be the best having-practiced life

63 Ἐν Ἀλεξανδρείᾳ ἔγνων παρθένον ἣν κατείληφα ὡς ἐτῶν
in Alexandria I-knew (a)-virgin whom I-found about of-years
ἑβδομήκοντα· προσεμαρτύρει δὲ αὐτῇ ὁ κλῆρος ἅπας ὅτι
seventy bore-witness and to-her the clergy whole that

νέα οὖσα ὡς ἐτῶν εἴκοσι καὶ σφόδρα ὡραιοτάτη φευκτὴ
young being about of-years twenty and exceedingly most-beautiful to-be-shunned
ἦν διὰ τὸ κάλλος, ἵνα μή τινι μῶμον δῷ ἐξ
she-was because-of the beauty that not to-anyone blame she-give from
ὑπονοίας. ὅτε οὖν συνέβη τοὺς Ἀρειανοὺς συσκευάσασθαι
suspicion when so it-happened the Arians to-plot-against
τὸν μακάριον Ἀθανάσιον τὸν ἐπίσκοπον Ἀλεξανδρείας
the blessed Athanasius the bishop of-Alexandria
δι᾽ Εὐσεβίου τοῦ πραιποσίτου ἐπὶ Κωνσταντίου τοῦ
through Eusebius the chamberlain under Constantius the
βασιλέως, καὶ ἀθέμιτα αὐτοῦ κατηγόρουν συκοφαντοῦντες,
emperor and lawless(-things) him accused slandering
φεύγων τὸ παρὰ διεφθαρμένου κριτηρίου κριθῆναι οὐκ
fleeing the by (a)-corrupted tribunal to-be-judged not
ἐθάρρησεν οὐδενί, οὐ συγγενεῖ οὐ φίλῳ οὐ κληρικῷ οὐκ
he-trusted anyone not kinsman not friend not cleric not
ἄλλῳ τινί· ἀλλ᾽ εἰσελθόντων τῶν ἐπαρχικῶν αἰφνίδιον
other any but having-entered the prefect's-men suddenly
εἰς τὸ ἐπισκοπεῖον καὶ ζητούντων αὐτόν, λαβὼν αὐτοῦ
into the bishop's-house and seeking him having-taken his
τὸ στιχάριν καὶ τὸ βιρὶν ἐν μεσαιτάτῃ νυκτὶ κατέφυγε
the tunic and the cloak in very-middle night fled
πρὸς ταύτην τὴν παρθένον. ἡ δὲ ξενισθεῖσα ἐπὶ τῷ
to this the virgin she and having-been-astonished at the
πράγματι διεπτοήθη. λέγει οὖν αὐτῇ· Ἐπειδὴ ζητοῦμαι
thing was-terrified says so to-her since I-am-sought
παρὰ τῶν Ἀρειανῶν καὶ ἀθέμιτα συκοφαντοῦμαι, ἵνα οὖν
by the Arians and lawless(-things) I-am-slandered that so
μὴ κἀγὼ ἄλογον ἀπενέγκωμαι δόξαν καὶ εἰς ἁμαρτίαν
not I-too unreasonable I-carry-off (a)-reputation and into sin
ἐμβάλω τοὺς τιμωρήσασθαί με βουλομένους, ἐνεθυμήθην
I-cast those to-punish me wishing I-resolved

φυγεῖν. ἀπεκάλυψε δέ μοι ὁ θεὸς ταύτῃ τῇ νυκτὶ ὅτι Παρ'
to-flee revealed and to-me — God this the night that with
οὐδενὶ ἔχεις σωθῆναι εἰ μὴ παρ' ἐκείνῃ. ἀπὸ πολλῆς οὖν
no-one you-can to-be-saved if not with her from much so
χαρᾶς ἐκείνη ῥίψασα πάντα διαλογισμὸν ὅλη γεγένηται
joy she having-thrown-off every reasoning wholly became
τοῦ κυρίου· καὶ κατέκρυψε τὸν ἁγιώτατον ἐκεῖνον ἐπὶ ἓξ
of-the Lord and hid the most-holy that(-man) for six
ἔτη μέχρι τῆς ζωῆς Κωνσταντίου, αὕτη καὶ περινίπτουσα
years until the life of-Constantius she both washing
τοὺς πόδας, καὶ τὰ περιττεύματα διακονοῦσα, καὶ τὰς
the feet and the excrements tending and the
χρείας αὐτῷ πάσας οἰκονομοῦσα, καὶ βιβλία κιχρωμένη καὶ
needs for-him all managing and books borrowing and
παρέχουσα αὐτῷ· καὶ οὐδεὶς ἀνθρώπων πάσης Ἀλεξανδρείας
providing to-him and no-one of-men of-all Alexandria
ἔγνω ἐν τοῖς ἓξ ἔτεσι ποῦ διάγει ὁ μακάριος Ἀθανάσιος. ὡς
knew in the six years where lives the blessed Athanasius when
οὖν ἠγγέλθη ὁ θάνατος Κωνσταντίου καὶ ἦλθεν αὐτοῦ εἰς
so was-announced the death of-Constantius and came his into
τὰς ἀκοάς, καλῶς ἐνδυσάμενος πάλιν ἐν τῇ νυκτὶ εὑρέθη
the ears well having-dressed again in the night he-was-found
ἐν τῇ ἐκκλησίᾳ, πάντων ἐκστάντων καὶ θεασαμένων αὐτὸν
in the church all being-amazed and having-beheld him
ὡς ἐκ νεκρῶν ζῶντα. ἀπελογεῖτο οὖν τοῖς γνησίοις αὐτοῦ
as from (the)-dead living he-explained so to-the genuine his
φίλοις ὅτι Τούτου χάριν πρὸς ὑμᾶς οὐ κατέφυγον ἵνα
friends that of-this for-the-sake to you not I-fled that
εὔορκον ὑμῖν ᾖ, ἄλλως δὲ καὶ διὰ τὰ ἔρευνα·
(an)-honest-oath for-you may-be otherwise and also because-of the searches
κατέφυγον δὲ πρὸς ἣν ὑποψίαν οὐδεὶς ἠδύνατο ἔχειν ὡς
I-fled and to whom suspicion no-one could have as

ὡραίαν καὶ νεωτέραν, δύο μνηστευσάμενος, καὶ τὴν
beautiful and younger two(-things) having-courted both the
σωτηρίαν ἐκείνης, ὠφέλησα γὰρ αὐτήν, καὶ τὴν ἐμὴν δόξαν.
salvation of-her I-benefited for her and the my reputation

XVI · ANCYRA AND THE LAST STORIES

Juliana of Caesarea shelters Origen, and Palladius copies a story from Hippolytus of a Corinthian virgin saved from a brothel by a young officer who dies a martyr for her. At Ancyra Verus and Bosporia give their revenues to the poor, Magna lives in secret charity, and a monk serves the sick and the poor. A fallen virgin repents and pleases God more than in her virginity, and a presbyter's daughter who slandered Eustathius, a reader, is freed from her labor only by his prayer. Palladius ends with the brother who has lived with him since youth, and commends the book to the chamberlain.

Ἰουλιανή τις πάλιν παρθένος ἐν Καισαρείᾳ τῆς 64
Juliana a-certain again (a)-virgin in Caesarea —
Καππαδοκίας λογιωτάτη ἐλέγετο καὶ πιστοτάτη· ἥτις
of-Cappadocia most-learned was-said and most-faithful who
Ὠριγένην τὸν συγγραφέα φεύγοντα τὴν ἐπανάστασιν
Origen the writer fleeing the uprising
τῶν Ἑλλήνων ἐδέξατο ἐπὶ δύο ἔτη ἰδίοις ἀναλώμασι
of-the pagans received for two years with-own expenses
καὶ ὑπηρεσίᾳ ἀναπαύσασα τὸν ἄνδρα. εὗρον δὲ ταῦτα
and service having-refreshed the man found and these
ἐγὼ γεγραμμένα ἐν παλαιοτάτῳ βιβλίῳ στιχηρῷ, ἐν
I written in (a)-most-ancient book in-verse-lines in
ᾧ ἐγέγραπτο χειρὶ Ὠριγένους· Τοῦτο τὸ βιβλίον
which had-been-written by-(the)-hand of-Origen this the book
εὗρον ἐγὼ παρὰ Ἰουλιανῇ τῇ παρθένῳ ἐν Καισαρείᾳ,
found I with Juliana the virgin in Caesarea

κρυπτόμενος παρ᾽ αὐτῇ· ἥτις ἔλεγε παρ᾽ αὐτοῦ Συμμάχου
hiding with her who said from himself Symmachus
τοῦ ἑρμηνέως τῶν Ἰουδαίων αὐτὸ εἰληφέναι.
the translator of-the Jews it to-have-received
Οὐ παρέργως δὲ τέθεικα καὶ τὰς ἀρετὰς τούτων τῶν
not incidentally and I-have-set-down also the virtues of-these the
γυναικῶν, ἵνα μάθωμεν ὅτι πολυτρόπως ἔνεστι κερδαίνειν
women that we-may-learn that in-many-ways it-is-possible to-gain
ἐὰν ἐθέλωμεν.
if we-wish

65 Ἐν ἄλλῳ βιβλίῳ παλαιοτάτῳ ἐπιγεγραμμένῳ Ἱππολύτου
in another book most-ancient inscribed of-Hippolytus
τοῦ γνωρίμου τῶν ἀποστόλων εὗρον διήγημα τοιοῦτον, ὅτι
the acquaintance of-the apostles I-found (a)-story such that
εὐγενεστάτη τις καὶ ὡραιοτάτη παρθένος ὑπῆρχεν ἐν τῇ
most-noble a-certain and most-beautiful virgin was in the
Κορινθίων πόλει ἀσκουμένη εἰς τὴν παρθενίαν. ταύτην
of-Corinthians city practicing-discipline in the virginity her
κατ᾽ ἐκεῖνο καιροῦ διέβαλον τῷ τότε δικάζοντι Ἕλληνι
at that of-time they-slandered to-the then judge (a)-pagan
ὄντι κατὰ τὸν καιρὸν τῶν διωκτῶν, ὡς βλασφημοῦσαν καὶ
being in the time of-the persecutors as blaspheming both
τοὺς καιροὺς καὶ τοὺς βασιλεῖς καὶ δυσφημοῦσαν τὰ εἴδωλα.
the times and the emperors and reviling the idols
προσεπῄνουν δὲ τὸ ταύτης κάλλος οἱ περὶ τὰ τοιαῦτα
praised and the her beauty the about the such(-things)
κάπηλοι. γυναικομανὴς οὖν ὑπάρχων ὁ δικαστὴς ἡδέως
peddlers woman-mad so being the judge gladly
ἐδέξατο τὴν διαβολὴν τοῖς ἱππικοῖς ὠτίοις. καὶ ὡς πᾶσαν
received the slander with-the horse-like ears and when every
μηχανὴν κινήσας πεῖσαι τὴν ἄνθρωπον οὐκ ἠδυνήθη, τότε
device having-moved to-persuade the person not he-could then

ἀπομανεὶς πρὸς αὐτὴν τιμωρίᾳ αὐτὴν οὐ παρέδωκεν, οὐ
having-raged against her to-punishment her not he-banded-over not
βασάνῳ, ἀλλὰ στήσας αὐτὴν εἰς πορνεῖον ἐνετείλατο τῷ
to-torture but having-set her in (a)-brothel commanded the(-one)
νέμοντι ταύτας ὅτι Δέξαι ταύτην, ἡμερήσιόν μοι τρία
managing them that receive her daily to-me three
νομίσματα φέρων ἐκ ταύτης. ὁ δὲ εἰσπραττόμενος τὸν
coins bringing from her he and exacting the
χρυσὸν ἔκδοτον αὐτὴν παρεῖχε τοῖς βουλομένοις. ὡς οὖν
gold surrendered her offered to-those wishing when so
ἔγνωσαν οἱ περὶ ταῦτα γυναικοϊέρακες παρήδρευσαν τῷ
knew the about these woman-hawks they-haunted the
ἐργαστηρίῳ τῆς ἀπωλείας, καὶ διδόντες τὸ κέρμα ὡμίλουν
workshop of-the perdition and giving the coin talked
αὐτῇ τὰ πρὸς ἀπάτην. ἡ δὲ ἐκλιπαροῦσα αὐτοὺς
to-her the(-things) for seduction she and entreating them
παρεκάλει λέγουσα ὅτι Ἕλκος ἔχω τι εἰς κεκρυμμένον
besought saying that sore I-have a-certain in (a)-hidden
τόπον ὅπερ ἐσχάτως ὄζει, καὶ δέδοικα μὴ εἰς μῖσός μου
place which extremely stinks and I-fear lest into hatred of-me
ἔλθητε· ἔκδοτε οὖν μοι ὀλίγας ἡμέρας, καὶ ἐξουσίαν ἔχετε
you-come grant so me few days and power you-have
καὶ δωρεάν με ἔχειν. δεήσεσιν οὖν τὸν θεὸν ἱκέτευεν ἐν
even free me to-have with-entreaties so — God she-supplicated in
ἐκείναις ταῖς ἡμέραις· ὅθεν καὶ θεασάμενος ὁ θεὸς αὐτῆς
those the days whence also having-beheld — God her
τὴν σωφροσύνην νεανίσκῳ τινὶ μαγιστριανῷ, καλῷ τὴν
the chastity in-young-man a-certain magistrianus fine in-the
γνώμην καὶ τῷ εἴδει, ἐνέθηκε ζῆλον πυριφλεγῆ θανάτου.
mind and in-the form put-in (a)-zeal fiery of-death
καὶ ἀπελθὼν τῷ σχήματι τῆς ἀκολασίας εἰσέρχεται
and having-gone in-the guise of-the licentiousness enters

βαθεῖαν ἑσπέραν πρὸς τὸν τρέφοντα ταύτας, καὶ δίδωσιν
deep evening to the(-one) keeping them and gives
αὐτῷ πέντε νομίσματα καὶ λέγει αὐτῷ· Συγχώρησόν μοι
him five coins and says to-him allow me
μεῖναι τὴν νύκτα ταύτην μετ' αὐτῆς. εἰσελθὼν οὖν εἰς τὸν
to-stay the night this with her having-entered so into the
ἀπόκρυφον οἶκον λέγει αὐτῇ· Ἀνάστα, σῶσον σεαυτήν. καὶ
hidden room he-says to-her get-up save yourself and
ἐκδύσας αὐτὴν καὶ μεταμφιάσας τοῖς ἰδίοις ἱματίοις, τοῖς
having-undressed her and having-reclothed with-the own garments the
τε καμισίοις καὶ τῇ χλανίδι καὶ τοῖς ἀνδρίοις πᾶσι, λέγει
both shirts and the cloak and the men's(-things) all he-says
αὐτῇ· Τῷ ἄκρῳ τῆς χλανίδος περικαλυψαμένη ἔξελθε.
to-her with-the edge of-the cloak having-covered-yourself go-out
καὶ οὕτως κατασφραγισαμένη καὶ ἐξελθοῦσα ἄφθορος καὶ
and so having-sealed-herself and having-gone-out uncorrupted and
ἀμίαντος διασέσωσται. τῇ οὖν ἄλλῃ ἡμέρᾳ ἐγνώσθη τὸ
undefiled she-has-been-saved on-the so next day was-known the
δρᾶμα· παρεδόθη ὁ μαγιστριανὸς καὶ ἐβλήθη θηρίοις, ἵνα
drama was-handed-over the magistrianus and was-thrown to-beasts that
καὶ ἐν τούτῳ ὁ δαίμων καταισχυνθῇ ὅτι διπλοῦς ἐγένετο
also in this the demon be-shamed that double became
μάρτυς, καὶ ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τῆς μακαρίας ἐκείνης.
(a)-martyr both for himself and for the blessed that(-woman)
66 Ἐν Ἀγκύρᾳ τῆς Γαλατίας ἐν αὐτῇ τῇ πόλει περιέτυχον
in Ancyra — of-Galatia in itself the city I-met-with
Οὐήρῳ τινὶ λαμπροτάτῳ οὗ καὶ μακρὰν πεῖραν
Verus a-certain most-illustrious of-whom also long experience
ἔσχηκα, ὃς ἦν ἀπὸ κομήτων, ἅμα τῇ τούτου ἐλευθέρᾳ
I-have-had who was of count(-rank) together-with the his wife
Βοσπορίῃ· οἵτινες ἐπὶ τοσοῦτον ἐλπίδος χρηστῆς ἤλασαν
Bosporia who to so-much of-hope good drove

ὡς καὶ τὰ τέκνα αὐτῶν παραλογίσασθαι, ἔργῳ τὰ
that even the children their to-defraud in-deed the(-things)
μέλλοντα βλέποντες. τὰς γὰρ προσόδους τῶν χωρίων
to-come seeing the for revenues of-the lands
ἀναλίσκουσιν εἰς τοὺς πενομένους, δύο θυγατέρας καὶ
they-spend on the poor two daughters and
τέσσαρας υἱοὺς ἔχοντες, οἷς οὐδὲ κλῆμα ἐπιδιδόασι
four sons having to-whom not-even (a)-twig they-give
παρεκτὸς ταῖς γαμηθείσαις, λέγοντες ὅτι Μετὰ τὴν
except to-the(-ones) married saying that after the
ἀποβίωσιν ἡμῶν πάντα ὑμέτερά ἐστι· τοὺς δὲ καρποὺς
death our all(-things) yours are the and fruits
τῶν κτημάτων κομιζόμενοι ἐν ἐκκλησίαις πόλεων καὶ
of-the estates gathering in churches of-cities and
κωμῶν διανέμουσιν. ὃ δὴ καὶ τοῦτο ἐν αὐτοῖς ἐνάρετον
of-villages they-distribute which indeed also this in them virtuous
ὑπάρχει· λιμοῦ γενομένου καὶ κατὰ σπλάγχνων χωροῦντος,
is (a)-famine having-come and against bowels advancing
τὰς αἱρέσεις εἰς ὀρθοδοξίαν μετήνεγκαν, ἐν πολλοῖς χωρίοις
the heresies to orthodoxy they-brought-over in many lands
τοὺς σιτοβολῶνας αὐτῶν παρασχόντες εἰς διατροφὴν
the granaries their having-provided for sustenance
τοῖς πένησι. τὸ δὲ ἄλλο σχῆμα σεμνότατον λίαν καὶ
to-the poor the and other habit most-modest very and
εὐτελὲς ἀναλαβόντες ὀλιγοδάπανα σφόδρα φοροῦσιν ἱμάτια,
plain having-taken-up cheap exceedingly they-wear garments
εὐτελεστάτῃ δὲ τροφῇ διαζῶσιν, ἐξασκοῦντες τὴν εἰς θεὸν
on-most-plain and food they-live practicing the toward God
σωφροσύνην, τὰ πλεῖστα τοῖς ἀγροῖς προσομιλοῦντες καὶ
temperance the most(-part) with-the fields keeping-company and

φεύγοντες τὰς πόλεις, μήποτε τῷ συνασμενισμῷ σπάσωσί
fleeing the cities lest by-the association they-draw
τι τῶν πολιτικῶν θορύβων ἐκπίπτοντες τῆς προθέσεως.
some of-the civic tumults falling-away from-the purpose
67 Ἐν ταύτῃ τῇ πόλει Ἀγκύρᾳ πολλαὶ μὲν καὶ ἄλλαι παρθένοι
in this the city Ancyra many indeed also other virgins
ὡς χιλιάδες δύο ἢ πλεῖον καὶ ἐγκρατευόμεναι καὶ ἐπίσημοι
about thousands two or more and continent and distinguished
γυναῖκες διαπρέπουσιν. ἐν αἷς ἐπικρατεῖ κατ᾽ εὐλάβειαν
women are-eminent among whom prevails in piety
Μάγνα σεμνοτάτη γυνή, ἣν οὐκ οἶδα τί ὀνομάσω,
Magna most-august (a)-woman whom not I-know what I-should-name
παρθένον ἢ χήραν. βίᾳ γὰρ συναφθεῖσα παρὰ τῆς ἰδίας
(a)-virgin or (a)-widow by-force for joined by the own
μητρὸς ἀνδρί, δελεάσασα τοῦτον καὶ ὑπερθεμένη, ὥς
mother to-(a)-husband having-beguiled him and having-put-off as
φασιν οἱ πολλοί, μεμένηκεν ἄψαυστος. οὗ μετ᾽ ὀλίγον
say the many she-has-remained untouched who after (a)-little
τελευτήσαντος ὅλην ἑαυτὴν ἐπέδωκε τῷ θεῷ, φροντίζουσα
having-died whole herself she-gave-up — to-God caring-for
σεμνῶς τῶν ἰδίων οἴκων, ζῶσα ἀσκητικώτατον βίον καὶ
modestly the own houses living (a)-most-ascetic life and
σώφρονα, τοιαύτην ἔχουσα τὴν συντυχίαν ὡς αἰδεῖσθαι
chaste such having the conversation that to-revere
αὐτὴν καὶ ἐπισκόπους ὑπερβολῇ εὐλαβείας. αὕτη τὰς λοιπὰς
her even bishops by-excess of-piety she the remaining
καὶ περιττευούσας χρείας ξενοδοχείοις καὶ πτωχοῖς καὶ
and surplus needs to-guest-houses and to-poor(-people) and
διοδεύουσιν ἐπισκόποις χορηγοῦσα, οὐ παύεται ἐργαζομένη
to-traveling bishops supplying not ceases working

κατὰ τὸ λεληθὸς δι᾽ ἑαυτῆς καὶ δι᾽ οἰκετῶν πιστοτάτων
in the secret through herself and through servants most-faithful
μηδὲ ἀπολιμπανομένη τῆς ἐκκλησίας ἐν ταῖς νυξίν.
nor being-absent-from the church in the nights
Ὁμοίως ἐν ταύτῃ τῇ πόλει εὑρήκαμεν μονάζοντα χειροτονίαν 68
likewise in this the city we-have-found (a)-monk ordination
μὲν μὴ αἱρούμενον δέξασθαι πρεσβυτερίου, ἀπὸ στρατείας
indeed not choosing to-receive of-presbyterate from (the)-army
δὲ ἡγμένον ὀλίγου χρόνου· ὃς εἰκοστὸν ἄγει ἔτος
and having-been-led (in)-little time who twentieth leads year
ἐν τῇ ἀσκήσει ταύτην ἔχων τὴν πολιτείαν· παραμένει
in the discipline this having the way-of-life he-stays
μὲν τῷ ἐπισκόπῳ τῆς πόλεως, τοσοῦτον δέ ἐστι
indeed with-the bishop of-the city so and he-is
φιλάνθρωπος καὶ ἐλεήμων ὡς καὶ τὰς νύκτας περιιέναι
humane and merciful that even the nights to-go-about
καὶ ἐλεεῖν τοὺς δεομένους. οὗτος οὐκ ἀμελεῖ οὐ φυλακῆς
and to-pity the needy he not neglects nor prison
οὐ νοσοκομείου οὐ πτωχοῦ οὐ πλουσίου, ἀλλὰ πᾶσιν
nor hospital nor poor(-man) nor rich(-man) but all
ἐπικουρεῖ, τοῖς μὲν λόγους εὐσπλαγχνίας διδοὺς ὡς
he-helps to-some indeed words of-compassion giving as
ἀσπλάχνοις, τῶν δὲ προιστάμενος, τοὺς δὲ εἰρηνεύων,
to-pitiless(-ones) of-others and protecting others and reconciling
τοῖς δὲ χρείας σωματικὰς καὶ ἱμάτια παρέχων. ὃ φιλεῖ
to-others and needs bodily and garments providing what is-wont
δὲ συμβαίνειν ἐν πάσαις ταῖς μεγάλαις πόλεσι ἔστι καὶ ἐν
and to-happen in all the great cities is also in
αὐτῇ· ἐν γὰρ τῇ στοᾷ τῆς ἐκκλησίας πλῆθος νοσούντων
it in for the portico of-the church (a)-crowd of-sick
κατακείμενον ἐρανίζεται τὴν ἐφήμερον τροφήν, τῶν
lying-down begs-together the daily food the(-ones)

μὲν ἀγάμων τῶν δὲ γεγαμηκότων. συνέβη οὖν μιᾶς
indeed unmarried the(-ones) and married it-happened so (on)-one
τῶν ἡμερῶν ἐν μέσῃ νυκτὶ τίκτειν ἑνὸς γυναῖκα
of-the days in middle night to-give-birth of-one(-man) (the)-wife
ἐν τῇ στοᾷ ἐν χειμῶνι. βοώσης οὖν αὐτῆς ἐν τῇ ὀδύνῃ
in the portico in winter crying-out so she in the pain
ἐπήκουσε, καὶ καταλείψας τὰς συνήθεις αὐτοῦ προσευχὰς
he-heard and having-left the customary his prayers
ἐξελθὼν ἐπεῖδε, καὶ μηδένα εὑρὼν αὐτὸς ἰατρίνης
having-gone-out he-looked and no-one having-found himself of-(a)-midwife
ἐπέσχε τόπον, οὐ βδελυξάμενος τὸ παρακολουθοῦν μῦσος
held (the)-place not having-loathed the attending filth
ταῖς τικτούσαις, ἀναισθησίαν ἐν αὐτῷ τῆς ἐλεημοσύνης
to-the(-women) giving-birth insensibility in him the mercy
ἐργασαμένης. τούτου τὸ μὲν σχῆμα τῶν ἱματίων οὐκ ἔστιν
having-wrought of-him the indeed habit of-the garments not is
ἄξιον ὀβολοῦ, τὸ δὲ βρῶμα ἀμφήριστον τῶν ἱματίων·
worth (an)-obol the and food on-a-par with-the garments
πυκτίῳ ἐγκύψαι οὐ καρτερεῖ τῆς φιλανθρωπίας αὐτὸν
into-(a)-book to-stoop not he-endures the humanity him
ἐλαυνούσης τῶν ἀναγνωσμάτων. βιβλίον αὐτῷ ἐάν τις
driving of-the readings (a)-book to-him if anyone
χαρίσηται τῶν ἀδελφῶν παραχρῆμα αὐτὸ πιπράσκει, τοῦτο
give of-the brothers at-once it he-sells this
ἐπιλέγων τοῖς ἐπισκώπτουσιν ὅτι Πόθεν ἔχω πεῖσαι τὸν
adding to-those mocking that whence can-I to-persuade the
διδάσκαλόν μου ὅτι τὴν τέχνην αὐτοῦ μεμάθηκα, ἐὰν μὴ
teacher my that the craft his I-have-learned unless —
ἐκεῖνον αὐτὸν πωλήσω εἰς τὸ τῆς τέχνης κατόρθωμα;
that(-one) itself I-sell for the of-the craft achievement

Ἀσκήτριά τις παρθένος μένουσα σὺν ἄλλαις δύο 69
as evening her having-overtaken he and when he-pitied her
ὅπερ οὐκ ὤφειλεν, ἐδέξατο αὐτὴν ἐν τῷ σπηλαίῳ καὶ δὴ
which not he-ought received her in the cave and indeed
ἐπυνθάνετο αὐτῆς τὴν πλάνην. ἡ δ' ὡς ἀπήγγειλε λόγους
he-inquired her the wandering she and when she-told words
αὐτῷ κολακείας καὶ ἀπάτης ὑπέσπειρε καὶ παρέτεινεν ἐπὶ
to-him of-flattery and deceit she-sowed and prolonged for
πολὺ πρὸς αὐτὸν τὴν ὁμιλίαν· ἠρέμα δέ πως αὐτὸν καὶ
long with him the conversation gently and somehow him also
ἐπ' ἔρωτα προσεκαλεῖτο καὶ λόγοι πλείους λοιπὸν πρὸς
to love she-invited and words more henceforth with
ἀλλήλους αὐτοῖς γίνονται καὶ γέλως καὶ μειδίαμα.
one-another to-them arise and laughter and smiling

ἀπεπλάνησεν δὲ αὐτὸν τῇ πολλῇ ὁμιλίᾳ καὶ τὸ
she-led-astray and him by-the much conversation and the
ἐντεῦθεν λοιπὸν ἁφῇ χειρὸς καὶ γενείου καὶ αὐχένος καὶ
thereafter then by-touch of-hand and of-chin and of-neck and
ᾐχμαλώτευσεν τέλος τὸν ἀσκητήν. ὡς δὲ ἐστρέφετο μὲν
captured at-last the ascetic when and was-turning indeed
ἐκεῖνος ἔνδοθεν τοῖς λογισμοῖς, ἅτε δὴ ἐν χερσὶν ἔχων τὸ
he within in-the thoughts as indeed in hands having the
πρᾶγμα, τὴν εὐκαιρίαν καὶ τὴν ἄδειαν τοῦ ἐκτελεῖν τὴν
thing the opportunity and the license of-the to-fulfill the
ἡδονὴν λογιζόμενος συνεκατέθετο λοιπὸν τῇ διανοίᾳ καὶ
pleasure reckoning he-consented then in-the mind and
δὴ συνελθεῖν αὐτῇ ἐπειρᾶτο, ἄφρων ἤδη καὶ θηλυμανὴς
indeed to-come-together with-her tried senseless now and female-mad
ἵππος γενόμενος. ἡ δὲ ἐξαίφνης μέγα ἀναβοήσασα
horse having-become she but suddenly loud having-shrieked
ἄφαντος ἐκ τῶν χειρῶν αὐτοῦ γέγονεν, ὥσπερ σκιά τις
vanished from the hands his became like shadow a-certain
ἀποδραμοῦσα. γέλως δὲ ἐν τῷ ἀέρι πολὺς ἀκούεται τῶν
having-run-off laughter and in the air much is-heard of-the
δαιμόνων ἐλεγχόντων αὐτὸν ὡς τῇ ἀπάτῃ παραγαγόντων
demons reproaching him as by-the deceit having-misled
καὶ μεγάλῃ φωνῇ πρὸς αὐτὸν βοώντων, ὅτι· "πᾶς
and with-great voice to him shouting that every(-one)
ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. σὺ δὲ ὑψώθης ἕως
the exalting himself will-be-humbled you and were-exalted to
τῶν οὐρανῶν, ἐταπεινώθης ἕως τῶν ἀβύσσων". ἐντεῦθεν
the heavens you-were-humbled to the abysses thereupon
ἀνίσταται τὸ πρωὶ τὸ νυκτερινὸν πένθος ἐπισυρόμενος
he-rises in-the morning the nightly grief dragging-along
καὶ διημερεύσας ἐν τοῖς θρήνοις ἀπογνοὺς ἑαυτοῦ τῆς
and having-passed-the-day in the laments having-despaired of-his the

σωτηρίας, ὅπερ οὐκ ὤφειλεν, εἰς τὸν κόσμον πάλιν
salvation which not he-ought to the world again
ὑπέστρεψεν. τοῦτο γὰρ ἐστὶ τοῦ πονηροῦ τὸ ἐπιτήδευμα,
returned this for is of-the evil(-one) the practice
ὅταν τινὰ καταπαλαίσῃ, τοῦτον εἰς ἀφροσύνην καθίστησιν,
whenever someone he-throws this(-one) into folly he-sets
ἵνα τοῦ λοιποῦ μηκέτι δύνηται ἀναστῆναι. ὅθεν, ὦ τέκνα,
that for-the rest no-longer he-can rise whence O children
οὐ συμβάλλεται ἡμῖν ἡ πλησίον τῶν χωρῶν οἴκησις, οὐδ'
not is-profitable for-us the near the villages dwelling nor
ἡ τῶν γυναικῶν συντυχία ἀνεξάλειπτον ἔχουσα μνήμην,
the with-the women meeting indelible having memory
ἣν ἐκ τῆς ὄψεως καὶ ὁμιλίας ἐπισπώμεθα. οὔτε δὲ
which from the sight and conversation we-draw nor but
ὀφείλομεν ἑαυτῶν ἀπογνῶναι καὶ εἰς ἀνελπιστίαν ἑαυτοὺς
we-ought of-ourselves to-despair and into hopelessness ourselves
ἀγαγεῖν. ἤδη γὰρ πολλοὶ καὶ τῶν ἀπογνωσθέντων τῆς
to-lead already for many even of-those despaired-of of-the
παρὰ τοῦ ἐλεήμονος θεοῦ φιλανθρωπίας οὐκ ἐστερήθησαν.
from the merciful God loving-kindness not were-deprived
Ἦν γάρ τις ἕτερος νεανίας, φησίν, ἐν τῇ πόλει
there-was for a-certain other young-man he-says in the city
πάμπολλα κακὰ ἐργασάμενος καὶ χαλεπῶς ἡμαρτηκώς, ὃς
very-many evils having-done and grievously having-sinned who
νεύματι τοῦ θεοῦ κατανυγεὶς ἐπὶ ταῖς πολλαῖς ἁμαρτίαις
by-(the)-nod — of-God having-been-pierced at the many sins
καὶ τοὺς τάφους καταλαβὼν τὴν προτέραν ἑαυτοῦ ζωὴν
and the tombs having-reached the former his-own life
ἀπωδύρετο ἐπὶ πρόσωπον ἑαυτὸν καταβαλὼν καὶ μὴ
lamented on (his)-face himself having-thrown-down and not
τολμῶν ἀφιέναι φωνήν, μηδ' ὀνομάζειν θεόν, μηδὲ ἱκετεύειν,
daring to-utter (a)-voice nor to-name God nor to-supplicate

ὡς ἀνάξιον ἑαυτὸν ἡγούμενος καὶ αὐτῆς τῆς ζωῆς καὶ
as unworthy himself thinking even of-itself the life and
πρὸ θανάτου ἐν τοῖς νεκροταφίοις ἑαυτὸν κατακλείσας
before death in the graveyards himself having-shut-up
καὶ ἀπειπὼν ἑαυτοῦ τὴν ζωὴν ἔστενε μόνον κάτωθεν
and having-renounced his-own the life he-groaned only from-below
ἐκ τοῦ βάθους τῆς καρδίας. ἑβδομάδος δὲ ἐπὶ τῷ αὐτῷ
from the depth of-the heart (a)-week and in the same
παρελθούσης νύκτωρ αὐτῷ ἐφίστανται δαίμονες οἱ τὸ πρὶν
having-passed by-night to-him stand-by demons those the before
αὐτοῦ τὴν ζωὴν καταβλάψαντες, κεκραγότες καὶ λέγοντες·
his the life having-ruined crying and saying
“ποῦ ὁ μιαρός ἐστιν ἐκεῖνος ὁ ταῖς λαγνείαις ἱκανῶς
where the foul(-one) is that(-one) the(-one) with-the lusts sufficiently
κορεσθεὶς νῦν, ἡμῖν ἄκαιρος, σώφρων ἐξαίφνης καὶ καλὸς
sated now to-us untimely chaste suddenly and good
ἀνεφάνη, καὶ, ὅτε οὐκέτι δύναται, τότε Χριστιανὸς καὶ
has-appeared and when no-longer he-can then (a)-Christian and
εὔτακτος εἶναι βούλεται; καὶ τί καλὸν ἔτι ἔσεσθαι αὐτῷ
orderly to-be he-wishes and what good still to-be for-him
προσδοκᾷς ἐμφορηθεὶς τῶν ἡμετέρων κακῶν;
do-you-expect having-been-filled-up with-the our evils
οὐκ ἀναστήσῃ ταχὺ ἐκεῖθεν; οὐκ ἐπὶ τὰ συνήθη
not will-you-get-up quickly from-there not to the customary(-things)
μεθ’ ἡμῶν ἥξεις; μένουσί σε πόρναι καὶ καπηλοί. οὐκ
with us will-you-come await you harlots and tavern-keepers not
ἐλεύσῃ καὶ τῶν ἐπιθυμιῶν ἀπολαύσεις πάσης σοι τῆς
will-you-come and the desires will-you-enjoy all for-you the
ἄλλης ἐλπίδος κατασβεσθείσης; ἥξει σοι πάντως ταχεῖα
other hope having-been-quenched will-come to-you surely swift
ἡ κρίσις οὕτως ἑαυτὸν ἀναιροῦντι. καὶ τί σπεύδεις πρὸς
the judgment thus yourself destroying and why do-you-hasten to

τὴν τιμωρίαν, ὦ ἄθλιε; τί δὲ φιλονικεῖς θᾶττον ἐπελθεῖν
the punishment O wretch why and do-you-strive sooner to-come-upon
σοι τὴν δίκην;" ἄλλα τε πολλὰ λέγοντες· "ἡμέτερος
you the penalty other and many(-things) saying ours
εἶ, ἡμῖν συνετάξω, ἀνομίαν ἤσκησας πᾶσαν, πάντων
you-are with-us you-enlisted lawlessness you-practiced all to-all
ἡμῶν ὑπεύθυνος γέγονας καὶ δραπετεύειν τολμᾷς; οὐκ
us liable you-have-become and to-run-away you-dare not
ἀποκρινῇ; οὐ συγκαταθήσῃ; οὐ συνεξελεύσῃ;" ὡς δὲ
will-you-answer not will-you-agree not will-you-come-out-with(-us) when but
ἐκεῖνος πρὸς ταῖς οἰμωγαῖς καρτερῶν οὐδὲ τὴν ἀκοὴν
he at the wailings persisting not-even the ear
ὑπεῖχεν αὐτοῖς οὐδ' ἀπεκρίνατο πρὸς αὐτοὺς λόγον, ἐπὶ
lent to-them nor answered to them (a)-word for
πολὺ ἐπιμενόντων αὐτῷ τῶν δαιμόνων. ὡς δὲ οὐδὲν
long persisting with-him the demons when and nothing
ἤνυσαν τὰ αὐτὰ πολλάκις λέγοντες, διαλαβόντες
they-accomplished the same(-things) often saying having-seized
αὐτὸν οἱ πονηροὶ δαίμονες ᾔκιζον χαλεπῶς ἄγαν
him the evil demons maltreated(-him) grievously exceedingly
ἅπαν τὸ σῶμα αὐτοῦ καταξαίνοντες καὶ βασανίσαντες
all the body his lacerating and having-tortured
αὐτὸν χαλεπῶς ἡμιθανῆ καταλιπόντες ἀπήρχοντο.
him grievously half-dead having-left went-off
ὁ δὲ οὐδὲν ἧττον ἀκίνητος, ἔνθαπερ αὐτὸν κατέλιπον,
he but nothing less unmoved where-indeed him they-left
ἔκειτο στένων αὖθις, ἐπειδὴ τὴν ψυχὴν συνελέξατο. τῶν
lay groaning again when the soul he-recollected the
δὲ οἰκείων αὐτοῦ κατ' ἴχνος ἀναζητησάντων αὐτὸν καὶ
and kinsmen his by track having-sought him and
εὑρόντων καὶ τὴν αἰτίαν τῆς τοῦ σώματος συμφορᾶς παρ'
having-found and the cause of-the of-the body misfortune from

αὐτοῦ μαθόντων, ἠξίουν αὐτὸν ἀπαγαγεῖν οἴκαδε. ὁ δὲ ἐπὶ
him having-learned they-asked him to-lead-away home he but for
πολὺ πολλάκις βιασαμένων ἀντέσχεν καὶ πάλιν αὐτὸν
long often (them)-having-forced held-out and again him
τὴν ἐπιοῦσαν νύκτα χείρω τῶν ἔμπροσθεν οἱ δαίμονες
the following night worse than-the former the demons
ἐπὶ τοῖς αὐτοῖς διατίθενται. καὶ οὐδ' οὕτως πάλιν
over the same(-things) treat and not-even so again
οἱ προσήκοντες αὐτὸν πείθουσι μεταστῆναι τοῦ
the(-ones) related him persuade to-move from-the
τόπου, κρεῖττον εἶναι τεθνάναι λέγοντα ἢ ἐν τοιαύταις
place better to-be to-have-died saying than in such
κηλῖσι τοῦ βίου ζῆν. ἡ τρίτη νὺξ τῶν δαιμόνων μικροῦ
stains of-the life to-live the third night of-the demons (by)-little
πάντη τὸν ἄνθρωπον τῆς ζωῆς ἀπήλλαξεν ἀνηλεῶς
entirely the man from-the life released mercilessly
ἐπιπεσόντων αὐτῷ ταῖς βασάνοις καὶ ἕως ὑστάτης πνοῆς
having-fallen-upon him with-the tortures and to last breath
κακωσάντων. ὡς δ' οὐκ εἶδον ἐνδόντα, ᾤχοντο,
having-maltreated(-him) when and not they-saw (him)-yielding they-went-off
ἄπνουν μὲν καταλιπόντες τὸν ἄνθρωπον. ἀπελθόντες
breathless indeed having-left the man having-gone-away
γοῦν ἐκεκράγησαν λέγοντες· "ἐνίκησας, ἐνίκησας,
at-any-rate they-cried saying you-have-won you-have-won
ἐνίκησας". καὶ οὐκέτι αὐτῷ συνήντησεν οὐδὲν δεινόν,
you-have-won and no-longer him met anything terrible
ἀλλὰ καθαρῶς τὸν τάφον ᾤκησεν, ἕως ἔζη, ἀσκήσας
but purely the tomb he-inhabited as-long-as he-lived having-practiced
τὴν ἀρετὴν καθαράν· οὕτω καὶ θεῷ τίμιος γενόμενος
the virtue pure thus also to-God precious having-become

ἐν δυνάμεσι καὶ θαυμάτων ἐπιδείξεσιν, ὥστε πολλοῖς καὶ
in powers and of-wonders displays so-that to-many both
θαῦμα καὶ ζῆλον καλῶν ἐπιτηδευμάτων παρασχεῖν.
wonder and emulation of-good practices to-afford
ἐκ τούτου πλεῖστοι καὶ τῶν σφόδρα ἀπεγνωκότων
from this very-many even of-those exceedingly having-despaired
ἑαυτῶν μετῆλθον τὰς καλὰς πράξεις καὶ κατώρθωσαν καὶ
of-themselves pursued the good deeds and succeeded and
γέγονεν αὐτοῖς τὸ τῆς γραφῆς λεγούσης· πᾶς ὁ
happened to-them the(-word) of-the scripture saying every(-one) the
ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. προηγουμένως οὖν, ὦ τέκνα,
humbling himself will-be-exalted before-all so O children
τὴν ταπεινοφροσύνην ἀσκήσωμεν κρηπῖδα οὖσαν πασῶν
the humility let-us-practice foundation being of-all
τῶν ἀρετῶν. πάνυ δὲ συμβάλλεται ἡμῖν καὶ ἡ μακροτέρα
the virtues very and is-profitable for-us also the farther
ἔρημος πρὸς τὴν ἄσκησιν. Γέγονε γάρ τις ἕτερος
desert for the discipline there-was for a-certain other
μοναχὸς τὴν πορρωτέρω ἔρημον κατειληφὼς καὶ ἐν πολλοῖς
monk the farther desert having-occupied and in many
ἔτεσι τὰς ἀρετὰς κατορθώσας. ἐν γήρει λοιπὸν τυγχάνων
years the virtues having-achieved in old-age now being
τῆς τῶν δαιμόνων ἐπιβουλῆς ἐπειρᾶτο. ἦν γὰρ πάνυ ὁ
of-the of-the demons plot experienced was for very the
ἀσκητὴς τὴν ἡσυχίαν ἀσπαζόμενος καὶ ἐν εὐχαῖς καὶ ὕμνοις
ascetic the stillness embracing and in prayers and hymns
καὶ θεωρίαις πολλαῖς διημερεύων καὶ ὁράσεις θειοτέρας
and contemplations many passing-the-day and visions more-divine
τινὰς ἐναργεῖς ἐθεώρει, τοῦτο μὲν ἐγρηγορώς, τοῦτο δὲ
some vivid beheld this indeed awake this and
καθ' ὕπνους. καὶ σχεδὸν ἴχνος ἐπείληπτο τῆς ἀσωμάτου
in sleep and almost (a)-trace had-grasped of-the bodiless

ζωῆς οὐ γῆν φυτεύων, οὐδὲ φροντίζων διαίτης, οὐδὲ ἐν
life not earth planting nor caring-for diet nor among
τοῖς φυτοῖς ζητῶν, ὅ τι παρέχοι τῷ σώματι δεομένῳ,
the plants seeking what — he-might-supply to-the body needing
ἀλλ᾽ οὐδ᾽ ἐκ τῆς χλοῆς, οὐδ᾽ ἄγραν ὀρνίθων, οὐδ᾽ ἄλλου
but nor from the grass nor (the)-catching of-birds nor of-other
τινὸς μετήρχετο ζώου, ἀλλὰ πεποιθήσεως γέμων εἰς θεόν,
any he-pursued animal but of-confidence full in God
ἐξ ὅτου ἐκ τῆς οἰκουμένης ἐκεῖ μετέστη, λόγον οὐδενὸς
from when from the inhabited-world there he-moved account of-nothing
εἶχεν, ὅπως αὐτῷ τρεφόμενον διαμένοι τὸ σῶμα, ἀλλ᾽ ἐν
had how for-him nourished might-remain the body but in
λήθῃ πάντων ἑκὼν ἀνεῖχεν ἑαυτὸν τελείῳ πόθῳ πρὸς
forgetfulness of-all willingly held-up himself with-perfect longing toward
τὸν θεὸν παραμένων καὶ περιμένων τὴν κλῆσιν καὶ τὴν
— God remaining and awaiting the call and the
ἐκ τοῦ κόσμου μετάθεσιν καὶ τό γε πλεῖστον τῇ τέρψει
from the world removal and the indeed most(-part) by-the delight
τῶν μὴ φαινομένων καὶ ἐλπιζομένων ἐτρέφετο. καὶ
of-the(-things) not appearing and hoped-for he-was-nourished and
οὔτε τὸ σῶμα κατετήκετο τῇ περιστάσει, οὔτε ἄθυμος ἦν
neither the body wasted-away by-the circumstance nor despondent was
ἡ ψυχή, ἀλλ᾽ ἐν σεμνῇ τῇ καταστάσει τὴν καλὴν ἕξιν εἶχεν.
the soul but in august the condition the fine state it-had
πλὴν ἀλλὰ τιμῶν αὐτὸν ὁ θεὸς διά τινος τεταγμένου
nevertheless but honoring him — God after a-certain appointed
χρόνου δύο ἢ τριῶν ἡμερῶν ἄρτον ἐπὶ τῆς τραπέζης ἐδίδου
time of-two or three days bread on the table gave
φαίνεσθαί τε καὶ εἶναι καὶ κεχρῆσθαι. καὶ εἰσερχόμενος
to-appear both and to-be and to-be-used and entering
ἐκεῖνος ἐν τῷ σπηλαίῳ, ἡνίκα ᾐσθάνετο δεομένου τοῦ
he into the cave when he-felt needing the

σώματος, ηὕρισκε τροφὴν καὶ προσκυνήσας καὶ εὐωχηθεὶς
body he-found food and having-worshiped and having-feasted
πάλιν τῶν ὕμνων ἀπέλαυεν, ἐπιμόνως τῆς εὐχῆς καὶ
again the hymns enjoyed constantly to-the prayer and
τῆς θεωρίας ἐχόμενος, θάλλων ὁσημέραι καὶ ἐπιδιδοὺς
the contemplation clinging flourishing daily and advancing
τῷ παρόντι τῆς ἀρετῆς καὶ τῷ μέλλοντι τῆς ἐλπίδος
in-the present of-the virtue and in-the future of-the hope
ἐπὶ τὸ μεῖζον προβαίνων ἀεί· καὶ σχεδὸν ἐθάρρει περὶ
to the greater proceeding always and almost he-was-confident about
τῆς ἀμείνονος ἑαυτοῦ λήξεως, ὡς ἔχων αὐτὴν ἐν χερσὶν
the better his-own lot as having it in hands
ἤδη. ὃ καὶ γέγονεν αὐτῷ, μικροῦ δεῖν ἀποπεσόντος
already which also happened to-him (by)-little lacking having-fallen-away
ἐκ τοῦ μετὰ ταῦτα ἐπελθόντος αὐτῷ πειρασμοῦ. τί γὰρ
by the after these having-come-upon him temptation why for
οὐ λέγομεν αὐτοῦ τὴν παρ' ὀλίγον πτῶσιν; ὡς γὰρ εἰς
not do-we-tell his the by little fall when for into
τὸ φρόνημα τοῦτο προῆλθεν, ἔλαθεν ἑαυτὸν οἰόμενος
the mind this he-came he-escaped-notice-of himself supposing
πλέον εἶναί τι τῶν πολλῶν, καὶ ὡς ἤδη παρὰ τοὺς
more to-be something than-the many and as already beyond the
ἄλλους ἀνθρώπους μεῖζόν τι κεκτημένος καί, τοιοῦτος
other men greater something having-acquired and such
ὤν, λοιπὸν ἑαυτῷ ἐπεποίθει.
being henceforth in-himself he-trusted
γεννᾶται οὖν οὐκ εἰς μακρὰν αὐτῷ πρῶτόν τις μικρὰ
is-born so not after long in-him first a-certain small
ῥαθυμία, ὅσον μηδ' εἶναι ῥαθυμίαν δοκεῖν· εἶτα φύεται
sloth so-much-as not-even to-be sloth to-seem then grows
μείζων ἀμέλεια· εἶτα ὅσον καὶ αἴσθησιν εἶναι. καὶ γὰρ
greater neglect then so-much-as even perception to-be and for

ἐκ τῶν ὕπνων ὀκνηρότερος διανίστατο πρὸς τοὺς ὕμνους
from the sleeps more-sluggish he-rose for the hymns
καὶ τὸ τῶν εὐχῶν ἤδη ἀργότερον, καὶ ὁ ὕμνος οὐχ οὕτως
and the of-the prayers now slower and the hymn not so
ἐκτεταμένος καὶ ἡ ψυχὴ βουλομένη, φησίν, ἀναπαύεσθαι
extended and the soul wishing he-says to-rest
καὶ ὁ νοῦς ἔνευσε κάτω καὶ οἱ λογισμοὶ ῥεμβασμούς
and the mind inclined downward and the thoughts wanderings
τινας ἔπασχον, καί πού τις ἐν τοῖς κρυφίοις καὶ ἀτοπία
some suffered and somewhere some in the secret(-places) also strangeness
ἐμελετᾶτο. πλὴν ἀλλ᾽ ὁ ἐθισμὸς ἐκ τῶν ἔμπροσθεν
was-practiced nevertheless but the habit from the former(-things)
ἀπῆγέν πως ἔτι τὸν ἀσκητήν, ὥσπερ ῥύμη τις
led-on somehow still the ascetic like momentum a-certain
ἐκ τῆς ὁρμῆς ἐκείνης, καὶ διέσωζε τέως. καί ποτε
from the impulse that and kept-safe for-a-while and once
εἰσελθὼν μετὰ τὰς συνήθεις εὐχὰς πρὸς ἑσπέραν εὗρε τὸν
having-entered after the customary prayers toward evening he-found the
ἄρτον ἐπὶ τῆς τραπέζης θεόθεν αὐτῷ χορηγούμενον καὶ
bread on the table from-God to-him supplied and
ἀνεκτήσατο· ἐν νῷ δὲ τὰς μειώσεις ἐκείνας οὐκ ἀπεβάλετο,
refreshed-himself in mind but the diminutions those not he-cast-off
οὐδὲ ἐλογίσατο, ὅτι τὰ παροράματα τὴν σπουδὴν βλάπτει,
nor reckoned that the oversights the zeal harm
οὐδὲ ἐπὶ τὴν ἴασιν ἐτρέπετο τοῦ κακοῦ, ἀλλὰ μικρὸν
nor to the healing turned of-the evil but small(-thing)
ᾠήθη τὸ παρ᾽ ὀλίγον τῶν δεόντων ἀποπεσεῖν.
thought the by little from-the needful(-things) to-fall-away
τοιγαροῦν αὐτὸν ἔρως ἐπιθυμίας ἁρπάσας εἰς τὸν κόσμον
therefore him love of-desire having-seized into the world
ἀπῆγε τοῖς λογισμοῖς. ὅμως ἐπισχὼν ἑαυτὸν τέως εἰς
led-off with-the thoughts yet having-checked himself for-a-while into

τὴν ἐπιοῦσαν ἡμέραν ἐπὶ τὴν συνήθη τρεπόμενος ἄσκησιν καὶ
the following day to the customary turning discipline and
εὐξάμενος καὶ ὑμνήσας εἰσελθὼν ἐν τῷ σπηλαίῳ τὸν μὲν
having-prayed and having-sung having-entered into the cave the indeed
ἄρτον εὗρεν παρακείμενον, οὐχ οὕτω δὲ ἐπιμελῆ καὶ καθαρόν,
bread he-found laid-out not so but cared-for and clean
ἀλλὰ ἐρρυπωμένον πως ἤδη. καὶ θαυμάσας καί που
but soiled somehow now and having-wondered and somewhat
κατηφὴς γενόμενος, ὅμως μετέσχε καὶ ἀνεκτήσατο. τρίτη
downcast having-become yet he-partook and refreshed-himself (a)-third
νὺξ γέγονε καὶ τριπλάσιον τὸ κακὸν προσετίθετο. καὶ γὰρ
night came and threefold the evil was-added and for
θᾶττον ὁ νοῦς αὐτοῦ τοῖς λογισμοῖς ἐγκατέσκηψεν. ἡ μνήμη
quicker the mind his on-the thoughts fell the memory
δὲ αὐτῷ ὡσὰν συμπαρούσης γυναικὸς καὶ συνανακειμένης
and to-him as-if being-present (a)-woman and lying-with(-him)
συνδιετίθετο καὶ τὸ πρᾶγμα ἐν ὀφθαλμοῖς εἶχε καὶ ὡς
was-disposed and the thing in eyes he-had and as
πράττων αὐτὸ διετέλει. ἐξῆλθε δὲ ὅμως καὶ τὴν τρίτην
doing it he-continued he-went-out and yet also the third
ἡμέραν ἐπὶ τὸ ἔργον καὶ τὴν εὐχὴν καὶ τοὺς ὕμνους, οὐκέτι
day to the work and the prayer and the hymns no-longer
καθαρὰς ἔχων τὰς ἐνθυμήσεις, ἀλλὰ πυκνὰ μεταστρεφόμενος
pure having the thoughts but often turning-about
μετεωρίζετο τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖ ἀκοντίζων. διέτεμνον
he-was-distracted the eyes here and-there darting cut-through
γὰρ αὐτοῦ τὸ καλὸν ἔργον αἱ μνῆμαι τῶν ἐνθυμήσεων.
for his the good work the memories of-the thoughts
ἑσπέρας οὖν ἐπανῆλθεν ἄρτου δεόμενος. τὸν δὲ εὗρε
at-evening so he-returned of-bread needing it and he-found
μὲν ἐν τῇ τραπέζῃ οἷον ὑπὸ μυῶν ἢ κυνῶν βεβρωμένον
indeed on the table as-if by mice or dogs eaten

καὶ λείψανόν τι τῶν ξηρῶν ἔξωθεν. τότε στένει μὲν
and remnant some of-the dry(-parts) outside then he-groans indeed
καὶ δακρύει, ἀλλ᾽ οὐχ ὅσον ἱκανόν, οὐδὲ ὅσον στεῖλαι
and weeps but not as-much-as sufficient nor as-much-as to-check
τὴν ἀτοπίαν. καὶ ἐτράφη οὐχ ὅσον ἤθελεν, οὐδὲ ὅσον
the strangeness and he-ate not as-much-as he-wished nor as-much-as
οἷός τε ἦν. ἐπῆλθαν δὲ αὐτῷ οἱ λογισμοὶ ἀθρόως
able — he-was came-upon and him the thoughts all-at-once
πάντοθεν αὐτὸν περιέχοντες καὶ πολεμοῦντες αὐτοῦ τὴν
from-all-sides him surrounding and warring-on his the
διάνοιαν καὶ εὐθὺς αἰχμάλωτον αἴρουσιν εἰς τὸν κόσμον.
mind and at-once captive they-carry into the world
ἀναστὰς δὲ ᾤχετο ἐπὶ τὴν οἰκουμένην διὰ τῆς ἐρήμου
having-risen and he-went to the inhabited-world through the desert
νυκτοπορῶν. καταλαβούσης δὲ αὐτὸν τῆς ἡμέρας καὶ τῆς
traveling-by-night having-overtaken and him the day and the
οἰκουμένης ἔτι μακρὰν ἀπεχούσης καὶ τοῦ καύματος αὐτὸν
inhabited-world still far being-distant and the heat him
θλίβοντος ἐκοπίασεν. κατενόει δὲ πάντοθεν ἑαυτοῦ κύκλῳ
oppressing he-grew-weary he-considered and on-all-sides himself around
περισκοπῶν, εἴ που μοναστήριον ἀναφανείη καὶ
looking-about whether somewhere (a)-monastery might-appear and
εἰσελθὼν ἀναπαύσηται. ὅπερ καὶ γέγονεν, ὑποδεξαμένων
having-entered he-may-rest which also happened having-received
αὐτὸν εὐλαβῶν τινων καὶ πιστῶν ἀδελφῶν, οἳ ὡς πατέρα
him devout some and faithful brothers who as father
γνήσιον θεασάμενοι ἔνιψαν τὴν ὄψιν αὐτοῦ καὶ τοὺς πόδας
genuine having-beheld washed the face his and the feet
καὶ εὐξάμενοι τράπεζαν παραθέντες, τῶν εὑρεθέντων
and having-prayed (a)-table having-set of-the(-things) found
ἠξίουν μετὰ ἀγάπης μεταλαβεῖν. ὡς δὲ ἀνεκτήσατο, ἠξίουν
asked with love to-partake when and he-refreshed-himself asked

λόγον σωτηρίας αὐτοῖς παρ' αὐτοῦ οἱ ἀδελφοὶ λέγεσθαι καὶ,
(a)-word of-salvation to-them by him the brothers to-be-spoken and
οἵαις μεθοδείαις δύναιντο σωθῆναι ἐκ τῆς τοῦ διαβόλου
by-what methods they-could be-saved from the of-the devil
παγίδος, καὶ ὅπως τῶν αἰσχρῶν λογισμῶν περιγένωνται.
snare and how the shameful thoughts they-may-overcome
ὁ δὲ αὐτοῖς, ὡς πατὴρ τέκνα νουθετῶν, παρῄνει
he and them as (a)-father children admonishing exhorted
προσκαρτερεῖν ἐν τοῖς πόνοις ὀλίγον ὕστερον εἰς ἀνάπαυσιν
to-persevere in the toils (a)-little later into rest
πολλὴν μεθισταμένοις, καὶ πολλὰ ἕτερα περὶ ἀσκήσεως
much (as-men)-passing and many other(-things) about discipline
αὐτοῖς διαλεγόμενος λίαν ὠφέλησεν. παυσάμενος δὲ τῆς
with-them conversing greatly he-benefited having-ceased and from-the
νουθεσίας καὶ μικρὸν ἐν ἑαυτῷ γενόμενος διελογίζετό πως·
admonition and (a)-little in himself having-become he-reasoned somehow
"ἄλλους νουθετῶν αὐτὸς ἀνουθέτητος ἔμεινας". καὶ
others admonishing yourself unadmonished you-have-remained and
συνιδὼν ἑαυτοῦ τὴν ἧτταν δρομαῖος πάλιν ἐπὶ τὴν ἔρημον
having-perceived his-own the defeat running again to the desert
ἐχώρει ἀποδυρόμενος ἑαυτὸν καὶ λέγων· "εἰ μὴ ὅτι κύριος
he-went lamenting himself and saying if not that (the)-Lord
ἐβοήθησέν μοι παρὰ βραχὺ παρῴκησε τῷ ἅδῃ ἡ ψυχή
helped me by little dwelt — in-Hades the soul
μου καὶ παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, παρὰ μικρὸν
my and by little I-was in every evil by little
συνετέλεσάν με ἐν τῇ γῇ". καὶ γέγονεν ἐπ' αὐτῷ τὸ
they-made-an-end-of me on the earth and happened in him the(-thing)
εἰρημένον· "ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις
said (a)-brother by (a)-brother helped as (a)-city
ὀχυρὰ καὶ ὡς τεῖχος ἄπτωτον". καὶ ἐκεῖθεν λοιπὸν πενθῶν
strong and as (a)-wall unfalling and thenceforth then mourning

διετέλει πάντα τὸν βίον τὴν θεόθεν τράπεζαν ζημιωθεὶς
he-continued all the life the from-God table having-lost
καὶ μετὰ καμάτου τὸν ἄρτον ἑαυτοῦ πoριζόμενος. καθείρξας
and with toil the bread his-own procuring having-shut-in
γὰρ ἑαυτὸν ἐν τῷ σπηλαίῳ καὶ σάκκον καὶ σποδὸν ἑαυτῷ
for himself in the cave and sackcloth and ashes for-himself
ὑποστρώσας οὐ πρότερον ἀνέστη χαμόθεν οὐδὲ ἐπαύσατο
having-spread-under not sooner he-rose from-the-ground nor ceased
ἀποδυρόμενος, πρὶν φωνῆς ἀκοῦσαι ἀγγέλου πρὸς αὐτὸν
lamenting before (a)-voice to-hear of-(an)-angel to him
λέγοντος κατ᾽ ὄναρ· "ἐδέξατο ὁ θεὸς τὴν μετάνοιάν σου καὶ
saying in (a)-dream received — God the repentance your and
ἐλέησέν σε· καὶ τοῦ λοιποῦ ὅρα μὴ ἀπατηθῇς. ἐλεύσονται
had-mercy-on you and for-the rest see not you-be-deceived will-come
δὲ οἱ ἀδελφοὶ παρακαλοῦντές σε, οὓς σὺ ἐνουθέτησας
and the brothers exhorting you whom you admonished
καὶ κομιοῦσίν σοι εὐλογίας, ἃς ὑποδεξάμενος μεταλήψῃ
and will-bring to-you blessings which having-received you-will-partake
σὺν αὐτοῖς καὶ τῷ θεῷ διὰ παντὸς εὐχαριστήσεις."
with them and — to-God through all you-will-give-thanks
Ταῦτα οὖν, ὦ τέκνα, ὑμῖν ὑφηγησάμην, ἵνα τὴν
these so O children to-you I-have-related that the
ταπεινοφροσύνην πρῶτον ἀσκήσητε, κἂν ἐν μικροῖς, κἂν
humility first you-practice whether in small(-things) or
ἐν μεγάλοις δόξητε εἶναι — αὕτη γὰρ ἐστὶν ἡ πρώτη τοῦ
in great you-seem to-be this for is the first of-the
σωτῆρος ἐντολὴ λέγοντος· "μακάριοι οἱ πτωχοὶ τῷ
savior commandment saying blessed the poor in-the
πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν" — καὶ
spirit for theirs is the kingdom of-the heavens and
ἵνα μὴ ἀπατηθῆτε ὑπὸ τῶν δαιμόνων τὰς φαντασίας ὑμῖν
that not you-be-deceived by the demons the apparitions in-you

ἐγειρόντων. ἀλλ' ἐάν τις ἔλθῃ πρὸς ὑμᾶς ἀδελφὸς ἢ φίλος
raising but if anyone come to you brother or friend
ἢ ἀδελφὴ ἢ γυνὴ ἢ πατὴρ ἢ μήτηρ ἢ διδάσκαλος ἢ παῖς ἢ
or sister or wife or father or mother or teacher or child or
οἰκέτης, πρῶτον εἰς προσευχὴν τὰς χεῖρας ἐκτείνατε, καὶ ἐὰν
servant first in prayer the hands stretch-out and if
ᾖ φάντασμα, φεύξεται ἀφ' ὑμῶν. κἂν ἀπατῶσιν ὑμᾶς οἱ
it-be (an)-apparition it-will-flee from you and-if deceive you the
δαίμονες ἢ οἱ ἄνθρωποι κολακεύοντες ὑμᾶς καὶ ἐπαινοῦντες,
demons or the men flattering you and praising
μὴ πείθεσθε αὐτοῖς μηδὲ ἐπαίρεσθε τῇ διανοίᾳ. κἀμὲ γὰρ
not obey them nor be-elated in-the mind me-too for
οὕτως πολλάκις ἠπάτησαν οἱ δαίμονες ἐν νυκτί, καὶ οὔτε
thus often deceived the demons at night and neither
εὔξασθαί με οὔτε ἀναπαύσασθαι συνεχώρησαν, φαντασίας
to-pray me nor to-rest they-allowed apparitions
μοί τινας παρέχοντες ὅλην τὴν νύκτα. καὶ πρωὶ ἐμπαίζοντες
to-me some presenting all the night and at-dawn mocking
προσέπεσάν μοι λέγοντες· "συγχώρησον ἡμῖν, ἀββᾶ, ὅτι
they-fell-before me saying forgive us abba that
κόπους σοι παρεσχήκαμεν ὅλην τὴν νύκτα". ἐγὼ δὲ εἶπον
troubles to-you we-have-given all the night I but said
πρὸς αὐτούς· "ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι
to them depart from me all those working
τὴν ἀνομίαν· οὐ γὰρ μὴ ἐκπειράσητε δοῦλον κυρίου."
the lawlessness not for — you-shall-tempt (a)-servant of-(the)-Lord
Ὥστε οὖν καὶ ὑμεῖς, ὦ τέκνα, τὴν ἡσυχίαν μεταδιώξατε
so then also you O children the stillness pursue
πρὸς τὴν θεωρίαν ἀεὶ γυμναζόμενοι, ἵνα καθαρὸν
toward the contemplation always training that pure
κτήσησθε νοῦν τῷ θεῷ προσευχόμενοι. καλὸς μὲν
you-may-acquire (a)-mind — to-God praying good indeed

γὰρ κἀκεῖνος ὁ ἀσκητὴς ὁ συνεχῶς ἐν τῷ κόσμῳ
for that-one-too the ascetic the(-one) continually in the world
γυμναζόμενος καὶ περὶ τὰς καλὰς πράξεις ἀσχολούμενος,
training and about the good deeds busied
ὁ τὴν φιλαδελφίαν ἐπιδεικνύμενος καὶ τὴν φιλοξενίαν
the(-one) the brotherly-love displaying and the hospitality
καὶ τὴν ἀγάπην καὶ ἐλεημοσύνας διαπραττόμενος καὶ
and the love and almsgivings performing and
εὐεργετῶν τοὺς παρόντας καὶ τοῖς κάμνουσι βοηθῶν καὶ
benefiting those present and the sick helping and
ἀσκανδάλιστος διαμένων. καλὸς μὲν οὗτος καὶ πάνυ καλός.
without-offense remaining good indeed he and very good
πρακτικὸς γὰρ καὶ ἐργάτης ἐστὶ τῶν ἐντολῶν, ἀλλὰ περὶ
practical for and (a)-worker he-is of-the commandments but about
τὰ γήινα ἀσχολεῖται. κρείττων γε μὴν τούτου καὶ
the earthly(-things) is-busied better indeed truly than-him and
μείζων ὁ θεωρητικὸς ἐκεῖνος ὁ ἀπὸ τῶν πρακτικῶν ἐπὶ
greater the contemplative that the(-one) from the practical(-things) to
τὴν νόησιν ἀναδραμὼν παρεὶς ἑτέροις ταῦτα φροντίζειν,
the understanding having-run-up having-left to-others these to-care-for
αὐτὸς δὲ καὶ ἑαυτὸν ἀπαρνησάμενος καὶ ἑαυτοῦ λήθην
himself and both himself having-denied and of-himself forgetfulness
ἔχων πολυπραγμονεῖ τὰ οὐράνια εὔλυτος πάντων τῷ
having busies-himself-with the heavenly(-things) free of-all —
θεῷ παριστάμενος, ὑπ᾽ οὐδεμιᾶς φροντίδος ἑτέρας ὄπισθεν
to-God standing-beside by no care other behind
κατασπώμενος. ὁ τοιοῦτος γὰρ θεῷ συνδιάγει, θεῷ
being-dragged-down the such(-man) for with-God lives with-God
συμπολιτεύεται, ἀπαύστοις ὕμνοις ἀεὶ ὑμνῶν τὸν θεόν."
shares-citizenship with-unceasing hymns always hymning — God

Ταῦτα δὲ καὶ ἄλλα πάμπολλα ἡμῖν διηγούμενος ὁ
these and also other very-many(-things) to-us relating the
μακάριος Ἰωάννης ἐπὶ τρεῖς ἡμέρας ἄχρις ἐννάτης ὥρας
blessed John for three days until (the)-ninth hour
διαλεγόμενος τὰς ψυχὰς ἡμῶν ἐθεράπευσεν. δοὺς δὲ
conversing the souls our healed having-given and
ἡμῖν εὐλογίας ἐν εἰρήνῃ πορευθῆναι προσέταξεν, εἰπὼν
to-us blessings in peace to-go he-bade having-told
ἡμῖν καὶ προφητείαν τινά, ὅτι· "σήμερον τὰ ἐπινίκια
us also prophecy a-certain that today the victory-tidings
τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου εἰς τὴν Ἀλεξάνδρειαν
of-the pious emperor Theodosius into — Alexandria
εἰσεληλύθασι τῆς τοῦ τυράννου Εὐγενίου ἀναιρέσεως",
have-come of-the of-the usurper Eugenius destruction
καὶ ὅτι· "δεῖ τὸν βασιλέα οἰκείῳ θανάτῳ τελευτῆσαι."
and that must the emperor by-(his)-own death to-die
ἅπερ συνέβη κατὰ ἀλήθειαν οὕτω γενέσθαι. Ὡς δὲ
which(-things) turned-out in truth so to-happen when and
πολλοὺς καὶ ἄλλους πατέρας ἐθεασάμεθα, ἥκασιν ἀδελφοὶ
many also other fathers we-beheld came brothers
ἀπαγγέλλοντες ἡμῖν τετελειῶσθαι τὸν μακάριον Ἰωάννην
reporting to-us to-have-been-perfected the blessed John
θαυμαστόν τινα τρόπον· ἐντειλάμενος γὰρ ἐπὶ τρεῖς
wonderful a-certain manner having-commanded for for three
ἡμέρας μηδένα συγχωρεῖν πρὸς αὐτὸν ἀνιέναι, κλίνας τὰ
days no-one to-allow to him to-go-up having-bent the
γόνατα εἰς προσευχὴν ἐτελειώθη πρὸς θεὸν ἀπερχόμενος·
knees in prayer he-was-perfected to God departing
Ὧι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.
to-whom (be)-glory into the ages amen

Or, father of a thousand brothers, plants a grove in the desert, learns the scriptures by grace, and exposes a false brother. Ammon's three thousand Tabennesiotes eat with covered faces in silence. Bes, gentlest of men, drives away a hippopotamus and a crocodile. At Oxyrhynchus the monks nearly outnumber the citizens, the city has no pagan or heretic, and its people press their hospitality on strangers. Theon, shut up for thirty years in silence, heals through his window and holds robbers fast at his door, and Elias lives on a terrible mountain at a hundred and ten.

2 Ἐθεασάμεθα δὲ καὶ ἕτερον ἄνδρα θαυμαστὸν ἐν Θηβαίδι,
we-beheld and also another man wonderful in (the)-Thebaid
ἀββᾶ Ὧρ ὄνομα αὐτῷ, πατέρα μοναστηρίων ἀδελφῶν
abba Or (the)-name to-him father of-monasteries of-brothers
χιλίων, σχῆμα μὲν ἔχοντα ἀγγελικόν, ἐνενηκονταετῆ που
thousand (a)-form indeed having angelic ninety-years-old about
ὄντα, γένειον ἔχοντα ἄχρι τοῦ στήθους· λαμπρὸν ἄγαν
being (a)-beard having to the breast bright exceedingly
καὶ φαιδρὸν τῷ προσώπῳ, ὡς καὶ ὁρώμενον αὐτὸ
and radiant in-the face so-that even being-seen itself
μόνον δυσωπηθῆναι τὸν ἄνδρα. οὗτος πολλὰ πρότερον καθ'
only to-be-abashed the man he much before by
ἑαυτὸν ἐν τῇ ἐρήμῳ ἀσκήσας τῇ πορρωτέρᾳ, ὕστερον
himself in the desert having-practiced the farther later
ἐν τῇ πλησίον ἐρήμῳ τὰ μοναστήρια συνεκρότησεν, ἄλσος
in the nearby desert the monasteries organized (a)-grove
φυτεύσας χερσὶν οἰκείαις ξύλων ἀγρίων ὄντων ἐν τῷ
having-planted with-hands own of-trees wild being in the
τόπῳ, ὡς ὕλην εἶναι ἐν τῇ ἐρήμῳ πολλήν. ἔλεγον γὰρ
place so-that (a)-wood to-be in the desert great said for
ἡμῖν οἱ περὶ αὐτὸν πατέρες, ὅτι οὐδὲ βλαστὸς εἷς ἦν
to-us the about him fathers that not-even (a)-shoot one was

ὧδε, ὅτε τὸ πρὶν ὁ ἀνὴρ ἐκ τῆς ἐρήμου παρεγένετο.
here when the(-time) before the man from the desert came
ἐφύτευσε δὲ τοῦτο, ἵνα μὴ διά τινα χρείαν οἱ συνερχόμενοι
he-planted and this that not for some need those coming-together
πρὸς αὐτὸν ἀδελφοὶ ἀναγκασθῶσι περιάγειν· ἀλλὰ πᾶσαν
to him brothers be-compelled to-go-about but all
πρόνοιαν αὐτῶν ἐποιεῖτο εὐχόμενος τῷ θεῷ καὶ ὑπὲρ τῆς
forethought for-them he-made praying — to-God and for the
σωτηρίας αὐτῶν ἀγωνιζόμενος, ἵνα ἐν μηδενὶ λείπωνται τῶν
salvation their striving that in nothing they-lack of-the
ἀναγκαίων καὶ μὴ πρόφασις αὐτοῖς ῥαθυμίας γένηταί τις.
necessary(-things) and not pretext to-them of-sloth be any
οὗτος ἐν τῇ ἐρήμῳ πρῶτον διάγων ἤσθιε βοτάνας καὶ ῥίζας
he in the desert first living ate herbs and roots
τινὰς γλυκείας, ἔπινε δὲ ὕδωρ, ὅτε καὶ ηὕρισκεν, ἐν εὐχαῖς
some sweet drank and water when also he-found in prayers
καὶ ὕμνοις διατελῶν πάντα τὸν χρόνον. ὡς δὲ λοιπὸν εἰς
and hymns continuing all the time when and then into
τὴν τελείαν τοῦ γήρως ἔφθασεν ἡλικίαν, ἄγγελος αὐτῷ
the full of-the old-age he-reached age (an)-angel to-him
φαίνεται κατ' ὄναρ ἐν τῇ ἐρήμῳ λέγων, ὅτι· "ἔσῃ εἰς
appears in (a)-dream in the desert saying that you-will-be into
ἔθνος μέγα καὶ πολὺν λαὸν πιστευθήσῃ. ἔσονται δὲ οἱ
(a)-nation great and much people you-will-be-entrusted-with will-be and those
σωζόμενοι διά σου μυριάδες δέκα. ὅσους γὰρ ἂν ἐνταῦθα
being-saved through you myriads ten as-many-as for — here
κερδήσῃς, τοσούτων ἄρξεις ἐν τῷ αἰῶνι τῷ μέλλοντι. καὶ
you-gain so-many you-will-rule in the age the coming and
μηδὲν διστάσῃς, φησὶν ὁ ἄγγελος πρὸς αὐτόν, οὐδέποτε
not-at-all doubt says the angel to him never
γάρ σοι λείψει τὰ πρὸς τὴν χρείαν ἄχρι τῆς τελευτῆς,
for to-you will-fail the(-things) for the need until the end

ὁσάκις ἂν ἐπικαλέσῃ τὸν θεόν.” ταῦτα ἀκούσας ἐπὶ
as-often-as — you-call-on — God these having-heard to
τὴν πλησίον ἔρημον ὥρμησε καταμόνας πρῶτον διάγων,
the nearby desert he-set-out alone first living
καλύβιον μικρόν τι ἑαυτῷ κατασκευάσας, λαχάνοις
hut small a-certain for-himself having-built with-vegetables
συνθέτοις μόνον ἀρκούμενος, πολλάκις καὶ δι’ ἑβδομάδος
mixed only content often even after (a)-week
ἅπαξ μεταλαμβάνων. ἀγράμματος μὲν ἦν τὸ πρῶτον·
once partaking unlettered indeed he-was the first
ἐπεὶ δὲ ἐκ τῆς ἐρήμου εἰς τὴν οἰκουμένην ἦρχετο, χάρις
when but from the desert into the inhabited-world he-came grace
αὐτῷ θεόθεν δίδοται καὶ τὰς γραφὰς ἔξωθεν ἀπεστήθιζεν.
to-him from-God is-given and the scriptures by-heart he-recited
ἐπιδοθέντος γὰρ αὐτῷ βιβλίου παρὰ τῶν ἀδελφῶν, ὡς
having-been-given for to-him (a)-book by the brothers as
ἔμπειρος τῶν γραφῶν, οὕτω λοιπὸν ἀνεγίνωσκεν.
skilled in-the scriptures so then he-read
εἰλήφει δὲ καὶ ἑτέραν χάριν τὴν κατὰ τῶν δαιμόνων
he-had-received and also another grace the against the demons
ἐλασίαν, ὡς πολλοὺς τῶν πασχόντων καὶ μὴ βουλομένους
expulsion so-that many of-the suffering(-ones) even not wishing
παριστάναι. βοώντων δ’ αὐτοῦ τὴν πολιτείαν ἰάσεις
to-present crying-out and his the way-of-life healings
τε τὰς ἄλλας πολλὰς δυνάμεις ἐπιτελῶν οὐκ ἐπαύετο,
and the other many powers performing not he-ceased
ὡς συναχθῆναι πανταχόθεν πρὸς αὐτὸν μοναχοὺς καὶ
so-that to-be-gathered from-everywhere to him monks even
εἰς χιλιάδας. Ἰδὼν οὖν ἡμᾶς ὁ ἀνὴρ καὶ περιχαρὴς
to thousands having-seen so us the man and overjoyed
γενόμενος ἠσπάσατο καὶ ὑπερηύξατο· νίψας τε τοὺς
having-become greeted and prayed-over(-us) having-washed and the

πόδας ἡμῶν χερσὶν οἰκείαις πρὸς διδασκαλίαν ἐτρέπετο.
feet our with-hands own to teaching turned
ἔμπειρος γὰρ ἦν λίαν τῶν γραφῶν θεόθεν ταύτην τὴν
skilled for he-was greatly in-the scriptures from-God this the
χάριν κτησάμενος. πολλὰ δὲ ἡμῖν λύσας τῶν γραφῶν
grace having-acquired many and for-us having-solved of-the scriptures
κεφάλαια καὶ τὴν ὀρθόδοξον πίστιν παραδοὺς ἐπὶ
chapters and the orthodox faith having-handed-down to
τὰς εὐχὰς προετρέπετο. ἔθος γὰρ τοῖς μεγάλοις, μὴ
the prayers he-urged(-us) custom for with-the great not
πρότερον τροφὴν προσίεσθαι τῇ σαρκὶ πρὶν ἢ τὴν
sooner food to-admit for-the flesh before — the
πνευματικὴν τροφὴν τῇ ψυχῇ παραδοῦναι. τοῦτο δὲ ἐστὶν
spiritual food to-the soul to-hand-over this and is
ἡ τοῦ Χριστοῦ κοινωνία. μεταλαβόντας οὖν ταύτης καὶ
the — of-Christ communion having-partaken so of-this and
εὐχαριστήσαντας ἐπὶ τὴν τράπεζαν προετρέπετο, αὐτός
having-given-thanks to the table he-urged(-us) himself
τι ἀεὶ τῶν σπουδαίων ὑπομιμνήσκων καθήμενος καὶ
something always of-the earnest(-things) recalling sitting and
λέγων ἡμῖν· "οἶδα ἐγώ τινα ἄνθρωπον ἐν τῇ ἐρήμῳ μηδὲν
saying to-us know I a-certain man in the desert no
γήϊνον βρῶμα ἐπὶ τρία ἔτη γευσάμενον. ἀλλὰ ἄγγελος αὐτῷ
earthly food for three years having-tasted but (an)-angel to-him
κατὰ τρεῖς ἡμέρας οὐράνιον βρῶμα ἐκόμιζεν, καὶ ἔβαλλεν
every three days heavenly food brought and put
αὐτοῦ εἰς τὸ στόμα καὶ τοῦτο αὐτῷ ἀντὶ τροφῆς καὶ
his into the mouth and this for-him instead-of food and
ποτοῦ ἐγένετο. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, ὅτι ἦλθον
drink was and I-know the such man that came
πρὸς αὐτὸν ἐν φαντασίᾳ οἱ δαίμονες ἀγγελικὰς στρατιὰς
to him in apparition the demons angelic hosts

ἐπιδεικνύντες καὶ ἅρμα πυρὸς καὶ δορυφορίαν πολλὴν,
displaying and (a)-chariot of-fire and bodyguard great
οἷά τε βασιλέως ἐπιδημοῦντός τινος καὶ λέγοντος αὐτῷ·
as — of-emperor arriving a-certain and saying to-him
"κατορθώσας πάντα, ὦ ἄνθρωπε, λοιπὸν προσκύνησόν
having-achieved all O man now worship
μοι καὶ ὡς Ἠλίαν σε ἀναλήψομεν." ἔλεγε δὲ ὁ μοναχὸς
me and as Elijah you we-will-take-up said but the monk
ἐν τῇ αὐτοῦ διανοίᾳ· "καθ' ἡμέραν προσκυνῶ τῷ ἐμῷ
in the his mind each day I-worship the my
βασιλεῖ καὶ σωτῆρι καὶ εἰ ἦν οὗτος ἐκεῖνος, οὐκ ἂν τοῦτο
king and savior and if were this(-one) that(-one) not — this
παρ' ἐμοῦ ᾔτει." ὡς δὲ μόνον εἶπεν αὐτῷ τὰ
from me he-would-ask when and only he-said to-him the(-things)
τῆς διανοίας, ὅτι· "ἔχω τὸν ἐμὸν βασιλέα Χριστόν, ὃν
of-the mind that I-have the my king Christ whom
ἀεὶ προσκυνῶ· σὺ δὲ οὐκ εἶ ἐμὸς βασιλεύς"· εὐθὺς
always I-worship you but not are my king at-once
ἐκεῖνος ἄφαντος γέγονε." ταῦτα οὖν ἡμῖν ὡς περὶ ἄλλου
he invisible became these so to-us as about another
διαλεγόμενος τὰς ἑαυτοῦ ἀρετὰς κρύπτειν ἠβούλετο. οἱ δὲ
conversing the his-own virtues to-hide he-wished the but
συνόντες αὐτῷ πατέρες αὐτὸν ἔλεγον ταῦτα ἑωρακέναι.
being-with him fathers him said these to-have-seen
Ἦν γοῦν τοσοῦτον ὁ ἀνὴρ ἐπίδοξος ἐν πολλοῖς
was at-any-rate so-much the man glorious among many
ἄλλοις πατράσιν, ὡς πολλῶν μοναχῶν πρὸς αὐτὸν
other fathers that many monks to him
ἐρχομένων πάντας τοὺς παρόντας ἀδελφοὺς συγκαλούμενος
coming all the present brothers calling-together
ἐν μιᾷ ἡμέρᾳ τὰ κέλλια αὐτοῖς ἐποίει, τοῦ μὲν πηλὸν
in one day the cells for-them he-made one indeed clay

ἐπιδιδόντος, τοῦ δὲ πλίνθον, ἄλλου δὲ ὕδωρ ἀντλοῦντος,
supplying another and brick another and water drawing
ἑτέρου δὲ ξύλα κόπτοντος. καὶ ἀποτελεσθέντων αὐτοῖς τῶν
another and wood cutting and having-been-completed for-them the
κελλίων αὐτὸς τὰς χρείας ἐπήρκει τοῖς ἐρχομένοις. Οὗτος
cells he the needs supplied to-those coming he
ψευδαδέλφου ποτὲ πρὸς αὐτὸν ἐλθόντος καὶ τὰ ἑαυτοῦ
(a)-false-brother once to him having-come and the his-own
ἱμάτια ἀποκρύψαντος ἐλέγξας αὐτὸν ἐπὶ πάντων εἰς
garments having-hidden having-exposed him before all into
μέσον αὐτὰ ἤδη προήνεγκεν, ὥστε μηκέτι τολμᾶν μηδένα
(the)-middle them at-once brought-forth so-that no-longer to-dare anyone
ἐπ' αὐτοῦ ψεύσασθαι, τοσαύτην χάριν ἀρετῆς ἔχοντος, ἣν
before him to-lie such grace of-virtue (him)-having which
διὰ τῆς πολλῆς καὶ καλῆς πολιτείας ἑαυτῷ συνελέξατο.
through the much and fine way-of-life for-himself he-gathered
ἦν δὲ ἰδεῖν τὸ πλῆθος τῶν σὺν αὐτῷ μοναχῶν ἐν τῇ
it-was(-possible) and to-see the multitude of-the with him monks in the
ἐκκλησίᾳ, οἷον χορούς τινας δικαίων λαμπαδοφορούντων
church like choirs some of-righteous(-ones) bearing-torches
καὶ ἀπαύστοις ὕμνοις τὸν θεὸν δοξαζόντων.
and with-unceasing hymns — God glorifying
Ἐθεασάμεθα δὲ ἐν Θηβαίδι καὶ ἕτερον ἄνδρα, 3
we-beheld and in (the)-Thebaid also another man
ὀνόματι Ἄμμωνα, πατέρα μοναχῶν τρισχιλίων, οὓς καὶ
by-name Ammon father of-monks three-thousand whom also
Ταβεννησιώτας ὠνόμαζον, μεγάλην ἔχοντας πολιτείαν καὶ
Tabennesiotes they-called great having way-of-life and
μηλωτὰς φοροῦντας καὶ κεκαλυμμένῳ προσώπῳ ἐσθίοντας
sheepskins wearing and with-covered face eating
καὶ κάτω νεύοντας, μή τις τὸν ἄλλον θεάσηται μασώμενον,
and down bowing lest any the other see chewing

καὶ σιωπὴν ἀσκοῦντας πολλήν, ὡς δοκεῖν ἐν ἐρημίαις
and silence practicing much so-as to-seem in solitudes
εἶναι, ἑκάστου τὴν ἑαυτοῦ πολιτείαν κρυφῇ ἐκτελοῦντος,
to-be each the his-own way-of-life secretly carrying-out
μόνον δὲ σχήματι καθημένους ἐπὶ τῆς τραπέζης καὶ
only and in-form sitting at the table and
δοκεῖν ἐσθίειν πειρωμένους λανθάνειν ἀλλήλους. οἱ μὲν
to-seem to-eat trying to-escape-notice-of one-another some indeed
γὰρ αὐτῶν ἅπαξ ἢ δεύτερον τῷ στόματι τὴν χεῖρα
for of-them once or twice to-the mouth the hand
προσῆγον ἄρτον ἢ ἐλαίας ἤ τι τῶν παρακειμένων
brought bread or olives or something of-the(-things) set-before
ἁψάμενοι, καὶ ἑκάστου προσφαγίου ἅπαξ γευσάμενοι,
having-touched and each relish once having-tasted
ἠρκοῦντο τῇ τροφῇ ταύτῃ. ἄλλοι δὲ τὸν ἄρτον ἠρέμα
were-content with-the food this others and the bread quietly
μασώμενοι, ἀπροσποιήτως τε τῶν ἄλλων ἔχοντες,
chewing unobtrusively and toward-the others behaving
οὕτως ἐνεκαρτέρουν. ἄλλοι δὲ τοῦ ζωμοῦ μόνον τρίτον
thus persevered others and of-the broth only (a)-third(-time)
ἐγεύοντο, ἐνεκρατεύοντο δὲ τῶν ἄλλων. ἅπερ πάντα κατὰ
tasted abstained and from-the others which all in
λόγον θαυμάσας οὐ παρῆκα τὴν ἐκ τούτων ὠφέλειαν.
reason having-wondered-at not I-let-pass the from these benefit
4 Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτην πραότητι πάντας
we-saw and also another old-man in-meekness all
ἀνθρώπους ὑπερβάλλοντα, ὀνόματι ἀββᾶ Βῆν. περὶ
men surpassing by-name abba Bes about
οὗ διεβεβαιοῦντο οἱ περὶ αὐτὸν ἀδελφοί, μηδέποτε
whom affirmed the about him brothers never
ὀμωμοκέναι, μήτε ψεύσασθαί ποτε, μήτε ὀργισθῆναι
to-have-sworn nor to-have-lied ever nor to-have-been-angry

κατά τινος, μήτε ἐπιπλῆξαι λόγῳ τινὰ πώποτε. ἦν
against anyone nor to-have-rebuked with-(a)-word anyone ever was
γὰρ ὁ βίος αὐτοῦ λίαν ἡσύχιος καὶ ὁ τρόπος ἐπιεικής,
for the life his very quiet and the manner gentle
ἀγγελικὴν κατάστασιν ἔχων. ἦν καὶ ταπεινόφρων ἄγαν
angelic condition having he-was also humble exceedingly
καὶ ἑαυτὸν εὐτελίζων. πολλὰ γὰρ ἡμῶν παρακαλούντων
and himself belittling much for we begging
αὐτὸν εἰπεῖν πρὸς ἡμᾶς προτρεπτικόν τινα λόγον, μόλις
him to-speak to us exhortatory a-certain word scarcely
ἠνέσχετο περὶ πραότητος ἡμῖν μόνον ὀλίγα διαλεχθῆναι.
he-consented about meekness to-us only few(-things) to-discourse
Οὗτος ἱπποποτάμου ποτὲ λυμηναμένου τὴν γείτονα χώραν
he (a)-hippopotamus once having-ravaged the neighboring country
ἐπιστὰς τῷ τόπῳ ὑπὸ τῶν γεωργῶν παρακληθεὶς καὶ
having-come-to the place by the farmers having-been-summoned and
ἰδὼν τὸ θηρίον ἐξαίσιον μέγεθος ἔχον πραείᾳ φωνῇ
having-seen the beast extraordinary size having with-gentle voice
ἐνετείλατο αὐτῷ λέγων· "παραγγέλλω σοι ἐν ὀνόματι
commanded it saying I-charge you in (the)-name
Ἰησοῦ Χριστοῦ μηκέτι λυμήνασθαι τὴν χώραν". ὁ δὲ ὡς
of-Jesus Christ no-longer to-ravage the country it and as
ὑπὸ ἀγγέλου ἀπελασθεὶς τοῦ τόπου παντάπασιν ἀφανὴς
by (an)-angel driven from-the place altogether invisible
γέγονεν. οὕτω καὶ κροκόδειλον ἀπεδίωξεν ἄλλοτε.
became so also (a)-crocodile he-chased-off another-time
Παρεγενόμεθα δὲ καὶ εἰς Ὀξύρυγχον πόλιν τινὰ τῆς 5
we-came and also to Oxyrhynchus city a-certain —
Θηβαίδος, ἧς οὐκ ἔστιν εἰπεῖν κατ' ἀξίαν τὰ
of-(the)-Thebaid whose not it-is(-possible) to-tell according-to worth the
θαύματα. γέμει γὰρ ἔνδοθεν οὕτως μοναστηρίων, ὡς τὰ τείχη
wonders it-is-full for within so of-monasteries that the walls

ὑπ᾽ αὐτῶν ἐξωθεῖσθαι τῶν μοναχῶν, περιέχεσθαι δὲ ἔξωθεν
by them to-be-pushed-out the monks to-be-surrounded and outside
ἑτέροις μοναστηρίοις, ὡς ἄλλην εἶναι παρὰ ταύτην τὴν
by-other monasteries so-that another to-be beside this the
ἔξω πόλιν. ἔγεμον δὲ τῆς πόλεως οἱ ναοὶ καὶ τὰ καπετώλια
outside city were-full and of-the city the temples and the capitols
τῶν μοναχῶν καὶ κατὰ πᾶν μέρος τῆς πόλεως ᾤκουν
of-the monks and in every part of-the city lived
οἱ μοναχοί. δεκαδύο δὲ εἰσὶν ἐν αὐτῇ ἐκκλησίαι, μεγίστης
the monks twelve and are in it churches very-great
οὔσης τῆς πόλεως, ἐν αἷς οἱ ὄχλοι συνάγονται· τὰ γὰρ τῶν
being the city in which the crowds assemble the for of-the
μοναχῶν εὐκτήρια καθ᾽ ἕκαστον ἦν μοναστήριον καὶ σχεδὸν
monks oratories in each were monastery and almost
πλείους ἦσαν οἱ μοναχοὶ ὑπὲρ τοὺς κοσμικοὺς πολίτας κατὰ
more were the monks beyond the worldly citizens at
πάσας τὰς εἰσόδους τῆς πόλεως καὶ ἐν τοῖς πύργοις τῶν
all the entrances of-the city and in the towers of-the
πυλῶν καταμένοντες. πεντακισχίλιοι γὰρ μοναχοὶ ἐλέγοντο
gates dwelling five-thousand for monks were-said
εἶναι ἔνδοθεν, τοσοῦτοι καὶ οἱ ἔξωθεν αὐτὴν περιέχοντες.
to-be within as-many also those outside it surrounding
καὶ οὐκ ἦν ὥρα ἡμερινὴ οὐδὲ νυκτερινή, ἐν ᾗ τὰς
and not was hour of-day nor of-night in which the
λατρείας οὐκ ἐπετέλουν τῷ θεῷ· ἀλλὰ γὰρ οὐδὲ εἷς ἦν
services not they-performed — to-God but for not-even one was
οἰκήτωρ αἱρετικὸς οὐδὲ ἐθνικὸς ἐν τῇ πόλει, ἀλλὰ πάντες
inhabitant heretical nor pagan in the city but all
ὁμοῦ οἱ πολῖται πιστοὶ καὶ κατηχούμενοι, ὡς δύνασθαι
together the citizens faithful and catechumens so-that to-be-able
δοῦναι τὸν ἐπίσκοπον ἐν τῇ πλατείᾳ εἰρήνην τῷ λαῷ.
to-give the bishop in the street peace to-the people

οἱ δὲ στρατηγοὶ αὐτῶν καὶ ἄρχοντες, οἱ τὰς φιλοτιμίας
the and generals their and magistrates the(-ones) the largesses
τοῖς δήμοις παρέχοντες, κατὰ τὰς πύλας καὶ τὰς εἰσόδους
to-the people providing at the gates and the entrances
σκοποὺς ἔστησαν πρὸς τό, εἰ ξένος τις πενόμενος
watchers set for the(-end) if stranger any poor
φανείη, ἀχθῆναι πρὸς αὐτοὺς ληψόμενον πρὸς παραμυθίαν
should-appear to-be-brought to them going-to-receive for comfort
ἀναλώματα. καὶ τί ἄν τις εἴποι τὴν εὐλάβειαν τῶν δήμων
expenses and what — anyone could-say the piety of-the people
ὁρώντων ἡμᾶς τοὺς ξένους διὰ τῆς ἀγορᾶς παριόντας καὶ
seeing us the strangers through the market passing and
ὥσπερ ἀγγέλοις ἡμῖν προσιόντων; τί δὲ τὸ πλῆθος ἐξείποι
as to-angels to-us coming-up how and the multitude could-tell
τις τῶν μοναχῶν καὶ παρθένων ἀναριθμήτου ὄντος; πλὴν
anyone of-the monks and virgins countless being except
ὅσον παρὰ τοῦ ἐκεῖ ἁγίου ἐπισκόπου ἠκριβευσάμεθα,
as-much-as from the there holy bishop we-ascertained
ἐδηλώσαμεν, μυρίους μὲν μοναχοὺς ὑπ' αὐτόν, δὶς μυρίας
we-have-declared ten-thousand indeed monks under him twice ten-thousand
δὲ παρθένους ἔχοντος. τὴν δὲ φιλοξενίαν αὐτῶν καὶ τὴν
and virgins having the and hospitality their and the
ἀγάπην, οἵαν παρεῖχον, ἐμὲ οὐχ οἷόν τε ἐξειπεῖν· διεσπᾶτο
love such-as they-showed me not possible — to-tell were-torn
γὰρ ἡμῶν τὰ πάλλια ἑκατέρωθεν ἡμᾶς πρὸς ἑαυτοὺς
for our the cloaks on-both-sides us toward themselves
ἀνθελκόντων. Καὶ εἴδομεν ἐκεῖ πολλοὺς καὶ μεγάλους
pulling-against-each-other and we-saw there many and great
πατέρας διάφορα χαρίσματα ἔχοντας, τοὺς μὲν ἐν λόγῳ,
fathers various gifts having some indeed in word
τοὺς δὲ ἐν πολιτείᾳ, τοὺς δὲ ἐν δυνάμεσι καὶ σημείοις.
others and in way-of-life others and in powers and signs

6 Εἴδομεν δὲ καὶ ἄλλον οὐ μικρὸν τῆς πόλεως ἐπὶ τὴν
we-saw and also another not little(-way) from-the city toward the
ἔρημον, Θεωνᾶν ὀνόματι, ἄνδρα ἅγιον ἐν οἰκίσκῳ καταμόνας
desert Theon by-name (a)-man holy in (a)-cell alone
ἐγκεκλεισμένον ἐπὶ τριάκοντα ἔτη σιωπὴν ἀσκήσαντα. ὃς
shut-in for thirty years silence having-practiced who
πλείστας δυνάμεις ἐπιτελῶν, ὡς προφήτης παρ᾽ αὐτοῖς
very-many powers performing as (a)-prophet among them
ἐνομίζετο. ἐξήρχετο γὰρ πρὸς αὐτὸν ἡμέριον τὸ πλῆθος τῶν
was-held came-out for to him daily the multitude of-the
ἀσθενούντων καὶ διὰ θυρίδος ἐπιτιθεὶς αὐτοῖς τὴν χεῖρα
sick and through (a)-window laying-on them the hand
ὑγιεῖς ἀπέλυεν ἀπελθεῖν. ἦν δὲ ἰδεῖν αὐτὸν πρόσωπον
healthy he-sent-off to-depart it-was(-possible) and to-see him (the)-face
ἀγγέλου ἔχοντα χαροποιὸν τοῖς ὀφθαλμοῖς καὶ πολλῆς
of-(an)-angel having gladdening to-the eyes and of-much
χάριτος ὅλον μεστόν. Ὃς οὐ πρὸ πολλοῦ τινος χρόνου
grace wholly full who not before long some time
ληστῶν αὐτῷ ἐπελθόντων νυκτὸς μακρόθεν οἰηθέντων
robbers him having-attacked by-night from-afar having-supposed
χρυσίον εὑρήσειν ἱκανὸν παρ᾽ αὐτῷ καὶ βουλομένων αὐτὸν
gold they-would-find enough with him and wishing him
ἀναιρεῖν, ηὔξατο, καὶ ἀκίνητοι πρὸς τὰς θύρας αὐτοῦ ἄχρι
to-kill he-prayed and motionless at the doors his until
πρωὶ ἔμειναν. παραγενομένων δὲ πρωὶ πρὸς αὐτὸν
morning they-remained having-arrived and in-the-morning to him
τῶν ὄχλων καὶ πυρὶ παραδοῦναι αὐτοὺς προαιρουμένων
the crowds and to-fire to-hand-over them choosing
ἀναγκασθεὶς ἕνα πρὸς αὐτοὺς ἀπεφθέγξατο λόγον· “ἄφετε
having-been-compelled one to them he-uttered word let
αὐτοὺς ὑγιεῖς ἀπελθεῖν· εἰ δὲ μή, ἡ χάρις τῶν ἰαμάτων
them unharmed to-go-away if but not the grace of-the healings

ἀπ' ἐμοῦ φεύξεται." οἱ δὲ ἤκουσαν αὐτοῦ οὐδὲ γὰρ
from me will-flee they and heard him nor for
ἀντειπεῖν ἐτόλμων. καὶ ἦλθαν εὐθὺς οἱ λησταὶ ἐν τοῖς
to-speak-against they-dared and went at-once the robbers into the
πέριξ μοναστηρίοις σὺν τοῖς μοναχοῖς μεταβαλόντες τὸν
surrounding monasteries with the monks having-changed the
τρόπον καὶ ἐπὶ τοῖς πεπραγμένοις μετανοοῦντες.
manner and for the(-things) done repenting
Πεπαίδευτο δὲ ὁ ἀνὴρ τριπλῇ τῶν διαλέξεων χάριτι
had-been-educated and the man in-threefold of-the languages grace
ἔν τε Ἑλληνικοῖς καὶ Ῥωμαικοῖς καὶ Αἰγυπτιακοῖς
in both Greek and Latin and Egyptian
ἀναγνώμασι, καθὼς παρὰ πολλῶν καὶ παρ' αὐτοῦ ἐκείνου
readings as from many and from himself that-one
ἐμάθομεν. ἐπιγνοὺς γὰρ ἡμᾶς ξένους ὄντας γράψας ἐν
we-learned having-recognized for us strangers being having-written on
πινακιδίῳ τῷ θεῷ ἐφ' ἡμῖν ηὐχαρίστησεν. ἤσθιε δὲ τῶν
(a)-tablet — to-God for us gave-thanks he-ate and of-the
σπερμάτων τὰ ἄνεφθα. ἐξῄει δέ, ὡς φασί, νύκτωρ
seeds the uncooked(-ones) he-went-out and as they-say by-night
τοῦ κελλίου καὶ ἀγρίοις θηρίοις συνηγελάζετο καὶ ἐξ
from-the cell and with-wild beasts herded-together and from
οὗ εἶχεν ὕδατος αὐτὰ ἐπότιζεν. ἦν γὰρ ἰδεῖν ἴχνη
what he-had water them he-watered it-was(-possible) for to-see tracks
βουβάλων καὶ ὀνάγρων καὶ δορκάδων παρὰ τὴν μονὴν
of-antelopes and of-wild-asses and of-gazelles beside the dwelling
αὐτοῦ, οἷς ἀεὶ προσετρέπετο.
his in-which always he-delighted
Εἴδομεν δὲ καὶ ἕτερον πρεσβύτην, Ἠλίαν ὀνόματι, ἐν τῇ 7
we-saw and also another old-man Elias by-name in the
ἐρήμῳ τῆς Ἀντινόου, μητροπόλεως τῆς Θηβαίδος, ἑκατὸν
desert of-the Antinoe metropolis — of-(the)-Thebaid hundred

δέκα ἐτῶν λοιπὸν ὄντα· ἐφ᾽ ὃν ἔλεγον τὸ τοῦ προφήτου
ten of-years now being on whom they-said the of-the prophet
Ἠλία πνεῦμα ἀναπεπαῦσθαι. διαβόητος γὰρ ἦν οὗτος ἐν
Elijah spirit to-have-rested famous for was he in
τῇ φοβερᾷ ἐρήμῳ ἐκείνῃ ἑβδομήκοντα ἔτη ποιήσας. οὐ
the fearful desert that seventy years having-spent not
δύναται δὲ λόγος ἐπαξίως τὴν τραχεῖαν ἐκείνην ἔρημον
can and speech worthily the rough that desert
διηγήσασθαι τὴν ἐν τῷ ὄρει, ἐν ᾧ ἐκεῖνος ἐκάθητο
to-describe the(-one) on the mountain in which he sat
μηδέποτε κατελθὼν εἰς τὴν οἰκουμένην. ἄτραπος δὲ
never having-come-down into the inhabited-world path and
στενή τις ἦν τῶν πρὸς αὐτὸν ἀπιόντων, ὡς μόλις
narrow a-certain was of-those to him going so-that scarcely
ἐπιβαίνειν τοῖς ἴχνεσι τοὺς ἀφικνουμένους ἔνθεν κἀκεῖθεν
to-tread on-the tracks those arriving on-this-side and-on-that
λίθων ἀγρίων παρακειμένων. ἦν δὲ καθήμενος ὑπὸ
of-stones rough lying-beside he-was and sitting under
πέτραν τινὰ εἰς σπήλαιον, ὥστε καὶ τὸ ἰδεῖν αὐτὸν
rock a-certain in (a)-cave so-that even the to-see him
λίαν ἦν φοβερόν. ἔτρεμε δὲ λοιπὸν ὅλως ὑπὸ τοῦ γήρως
very was fearful he-trembled and now wholly by the old-age
συνεχόμενος. πολλὰ δὲ καθ᾽ ἑκάστην ἡμέραν σημεῖα
gripped many and on each day signs
ἐπιτελῶν καὶ ἰώμενος τοὺς κάμνοντας οὐκ ἐπαύετο.
performing and healing the sick not he-ceased
ἔλεγον δὲ περὶ αὐτοῦ οἱ πατέρες, ὅτι οὐδεὶς μέμνηται τὴν
said and about him the fathers that no-one remembers the
αὐτοῦ ἐν τῷ ὄρει γεγενημένην ἄνοδον. ἤσθιε δὲ ἐν τῷ
his on the mountain having-taken-place ascent he-ate and in the

γήρει οὐγκίας τρεῖς ἄρτου εἰς ἑσπέραν καὶ τρεῖς ἐλαίας.
old-age ounces three of-bread at evening and three olives
ἐν νεότητι δὲ ἀεὶ δι' ἑβδομάδος ἅπαξ ἐσθίων διέμενεν.
in youth but always in (a)-week once eating he-continued

IV · APOLLO

Apollo of Hermopolis, where the idols fell when the Savior came with Mary and Joseph, gathers five hundred monks after forty years in the desert, where God told him he would destroy the wisdom of Egypt. In Julian's reign an angel opens the prison where he and his monks are held. He teaches discernment and joy, freezes a pagan procession in the sun until its people beg his help, makes peace between villages, converts a robber, and feeds his monks at Easter with food brought by strangers. In a famine his three baskets of bread last four months. He teaches daily communion and the keeping of the Wednesday and Friday fasts, and blames monks who wear iron.

Ἐθεασάμεθα δὲ καὶ ἕτερον ἄνδρα ἅγιον, ὀνόματι Ἀπολλῶ, 8
we-beheld and also another man holy by-name Apollo
ἐν Θηβαίδι, ἐν ὁρίοις Ἑρμουπόλεως, ἐν ᾗ ὁ σωτὴρ
in (the)-Thebaid in (the)-borders of-Hermopolis in which the savior
μετὰ Μαρίας καὶ τοῦ Ἰωσὴφ παρεγένετο, Ἡσαίου τὴν
with Mary and — Joseph came of-Isaiah the
προφητείαν ἀναπληρῶν λέγοντος· "ἰδοὺ κύριος κάθηται ἐπὶ
prophecy fulfilling saying behold (the)-Lord sits on
νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον καὶ σεισθήσεται
(a)-cloud light and will-come into Egypt and will-be-shaken
τὰ χειροποιητὰ Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ καὶ
the handmade(-things) of-Egypt from (the)-face his and
πεσοῦνται ἐπὶ τὴν γῆν." εἴδομεν γὰρ ἐκεῖ καὶ τὸν ναόν,
will-fall upon the earth we-saw for there also the temple
ἔνθα εἰσελθόντος τοῦ σωτῆρος ἐν τῇ πόλει τὰ εἴδωλα
where having-entered the savior into the city the idols

πάντα κατέπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. Εἴδομεν
all fell-down on (their)-face upon the earth we-saw
οὖν τὸν ἄνδρα τοῦτον ἐν τῇ ἐρήμῳ ὑπὸ τὸ ὄρος
so the man this in the desert under the mountain
ἔχοντα μοναστήριον, πατέρα μοναχῶν πεντακοσίων. ὃς
having (a)-monastery father of-monks five-hundred who
διαβόητος ἦν ἐν Θηβαίδι καὶ ἔργα μεγάλα ἦν αὐτῷ,
famous was in (the)-Thebaid and works great were to-him
καὶ δυνάμεις πολλὰς ἐποίει δι᾽ αὐτοῦ ὁ κύριος, σημεῖά
and powers many did through him the Lord signs
τε πάμπολλα δι᾽ αὐτοῦ ἐπετελοῦντο. οὗτος γὰρ ἐκ
and very-many through him were-performed he for from
παιδόθεν πολλὴν ἄσκησιν ἐνδειξάμενος ἐν τῷ τέλει τῆς
childhood much discipline having-displayed in the end of-the
ἡλικίας τοιαύτης ἔτυχε χάριτος· ὀγδοηκοστοῦ γὰρ ὢν ἔτους
age such obtained grace eightieth for being year
μέγα μοναστήριον ἑαυτῷ συνεκρότησε τελείων ἀνδρῶν
(a)-great monastery for-himself organized of-perfect men
πεντακοσίων, δυναμένων σχεδὸν πάντων σημεῖα ἐπιτελεῖν.
five-hundred being-able almost all signs to-perform
Οὗτος δεκαπέντε ἐτῶν ἀναχωρήσας τοῦ κόσμου καὶ
he fifteen of-years having-withdrawn from-the world and
τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατελέσας πᾶσάν τε ἀρετὴν
forty years in the desert having-continued every and virtue
ἀκριβῶς ἐξασκήσας, ὕστερον φωνῆς ἀκούειν ἔδοξε τοῦ
exactly having-practiced later (a)-voice to-hear seemed —
θεοῦ πρὸς αὐτὸν λέγοντος· “Ἀπολλῶ, ἀπολῶ διά σου
of-God to him saying Apollo I-will-destroy through you
τὴν σοφίαν τῶν ἐν Αἰγύπτῳ σοφῶν καὶ τὴν σύνεσιν τῶν
the wisdom of-the in Egypt wise and the understanding of-the
ἀσυνέτων ἐθνῶν ἀθετήσω. ἀπολεῖς δέ μοι σὺν αὐτοῖς
foolish nations I-will-set-aside you-will-destroy and for-me with them

καὶ τοὺς σοφοὺς Βαβυλῶνος καὶ πᾶσαν τὴν δαιμονικὴν
also the wise of-Babylon and all the demonic
λατρείαν ἐξαφανίσεις. καὶ νῦν πορεύου εἰς τὴν οἰκουμένην·
worship you-will-abolish and now go into the inhabited-world
γεννήσεις γάρ μοι λαὸν περιούσιον, ζηλωτὴν καλῶν
you-will-beget for for-me (a)-people special emulator of-good
ἔργων." ὁ δὲ ἀποκριθεὶς εἶπεν· "ἄφελε ἀπ' ἐμοῦ, δέσποτα,
works he and having-answered said take-away from me master
τὴν ἀλαζονείαν, μή πως ἐπαρθεὶς ὑπὲρ τὴν ἀδελφότητα
the boastfulness lest somehow having-been-elated over the brotherhood
τὸ πᾶν ἀγαθὸν ζημιωθῶ". εἶπε δὲ πάλιν ἡ θεία φωνὴ πρὸς
the whole good I-lose said and again the divine voice to
αὐτόν· "ἐπίβαλε τὴν χεῖρά σου ἐπὶ τὸν αὐχένα σου καὶ
him put the hand your on the neck your and
καθέξεις καὶ κατορύξεις αὐτὴν ἐν τῇ ἄμμῳ". ὁ δὲ ταχέως
you-will-hold-fast and you-will-bury it in the sand he and quickly
τὴν χεῖρα ἐπὶ τὸν αὐχένα ἐπιβαλὼν ἐδράξατο Αἰθίοπος
the hand on the neck having-put seized (an)-Ethiopian
μικροῦ καὶ κατέχωσεν αὐτὸν ἐν τῇ ἄμμῳ βοῶντα καὶ
small and buried him in the sand crying and
λέγοντα· "ἐγὼ εἰμὶ ὁ τῆς ὑπερηφανίας δαίμων". καὶ πάλιν
saying I am the of-the pride demon and again
φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· "πορεύου, ὅτι πᾶν, ὃ
(a)-voice came to him saying go for all which
ἐὰν αἰτήσῃ παρὰ τοῦ θεοῦ λήψῃ". ὁ δὲ εὐθὺς ἀκούσας
— you-ask from — God you-will-receive he and at-once having-heard
εἰς τὴν οἰκουμένην ἐξώρμησε κατὰ τὸν καιρὸν Ἰουλιανοῦ
into the inhabited-world set-out in the time of-Julian
τοῦ τυράννου καὶ παραβάλλει τέως ἐν τῇ πλησίον ἐρήμῳ.
the tyrant and arrives meanwhile in the nearby desert

Σπήλαιον δὲ μικρὸν καταλαβὼν ἐκεῖ κατέμεινεν ὑπὸ τὸ
(a)-cave and small having-occupied there he-stayed under the
ὄρος. τὸ δὲ ἔργον αὐτοῦ ἦν τὸ πανημερίους εὐχὰς τῷ
mountain the and work his was the all-day prayers —
θεῷ ἀποδιδόναι, ἑκατοντάκις μὲν ἐν νυκτί, τοσαυτάκις
to-God to-render a-hundred-times indeed in (the)-night as-many-times
δὲ ἐν ἡμέρᾳ κάμπτων τὰ γόνατα. ἡ τροφὴ δὲ αὐτοῦ
and in (the)-day bending the knees the food and his
τέως καθάπερ πρῶτον παρὰ θεοῦ ἐξ ἀμηχάνου
meanwhile as at-first from God from (the)-impossible
ἐχορηγεῖτο. ἐν τῇ ἐρήμῳ γὰρ αὐτῷ δι᾽ ἀγγέλου ἡ τροφὴ
was-supplied in the desert for to-him by (an)-angel the food
ἐκομίζετο. τὸ δὲ ἔνδυμα αὐτοῦ ἦν ὁ λευιτών, ὅνπερ
was-brought the and clothing his was the sleeveless-tunic which
τινὲς κολόβιον προσαγορεύουσι, καὶ λέντιον μικρὸν ἐπὶ
some colobium call and (a)-linen-cloth small on
τὴν κεφαλὴν αὐτοῦ. ταῦτα γὰρ αὐτῷ ἔμειναν ἐν τῇ
the head his these for for-him remained in the
ἐρήμῳ μὴ παλαιούμενα. Ἦν γοῦν ἐν τῇ πλησίον τῆς
desert not growing-old he-was at-any-rate in the near the
οἰκουμένης ἐρήμῳ ἐν τῇ δυνάμει διάγων τοῦ πνεύματος
inhabited-world desert in the power living of-the spirit
σημεῖα καὶ ἰάσεις ἐπιτελῶν θαυμαστάς, ἃς οὐκ ἄν τις
signs and healings performing wonderful which not — anyone
δι᾽ ὑπερβολὴν θαύματος πάσας ἐξειπεῖν δύναιτο, καθὼς
because-of excess of-wonder all to-tell could as
παρὰ τῶν συνόντων αὐτῷ πρεσβυτέρων ἠκούσαμεν καὶ
from the being-with him elders we-heard and
αὐτῶν τελείων ὄντων καὶ ἡγουμένων πολλῆς ἀδελφότητος.
themselves perfect being and leading (a)-large brotherhood

γέγονεν οὖν εὐθὺς διαβόητος ὁ ἀνὴρ ὡσὰν νέος τις
became so at-once famous the man as-if new a-certain
προφήτης καὶ ἀπόστολος τῇ ἡμετέρᾳ γενεᾷ ἐπιφοιτήσας.
prophet and apostle on-the our generation having-come
φήμης δὲ πολλῆς περὶ αὐτοῦ διαδραμούσης πάντες οἱ πέριξ
(a)-report and much about him having-spread all the around
σποράδην μένοντες μοναχοὶ πρὸς αὐτὸν ἀεὶ ἔφθανον ὡς
scattered staying monks to him always came as
πατρὶ γνησίῳ τὰς ἑαυτῶν ψυχὰς δῶρα προσφέροντες.
to-(a)-father genuine the their-own souls (as)-gifts offering
ὁ δὲ οὓς μὲν πρὸς θεωρίαν προσεκαλεῖτο, οὓς δὲ τὴν
he and some indeed to contemplation invited others and the
πρακτικὴν συνεβίβαζε μετελθεῖν ἀρετήν, πρῶτον δεικνὺς
practical urged to-pursue virtue first showing
ἔργῳ, ἅπερ λόγῳ ποιεῖν αὐτοὺς ἐνουθέτει. πολλάκις γὰρ
in-deed what in-word to-do them he-admonished often for
ἐπιδεικνύων αὐτοῖς τὴν ἄσκησιν, κατὰ κυριακὴν μόνον
showing them the discipline on (the)-Lord's-day only
μετ' αὐτῶν μετελάμβανεν, αὐτὸς μὲν οὐδὲν πλέον, ἢ
with them he-partook he indeed nothing more than
ὅσαπερ τῶν λαχάνων αὐτομάτως ἐκ τῆς γῆς ἀναφύεται,
whatever of-the vegetables of-themselves from the earth spring-up
οὐκ ἄρτον τέως, οὐκ ὄσπριον, οὐ τῶν ἐν τοῖς φυτοῖς
not bread meanwhile not pulse not of-the on the plants
ὀπωρῶν τι διαιτώμενος, οὐδ' ὅσα διὰ τοῦ πυρὸς ἔχει
fruits any living-on nor whatever through the fire has
τὴν χρῆσιν. Ἀκούσας δέ ποτε ἐν τοῖς Ἰουλιανοῦ καιροῖς,
the use having-heard and once in the of-Julian times
ὅτι ἀδελφὸς εἰς στρατιὰν κρατηθεὶς ἐν φυλακῇ δεσμώτης
that (a)-brother for (the)-army seized in prison (a)-prisoner
κάθηται, παρεγένετο πρὸς αὐτὸν μετὰ τῆς ἀδελφότητος,
sits he-came to him with the brotherhood

παρακαλῶν αὐτὸν καὶ νουθετῶν καρτερεῖν ἐν τοῖς πόνοις
exhorting him and admonishing to-persevere in the toils
καὶ τοὺς ἐπερχομένους αὐτῷ κινδύνους ὑπερορᾶν. καιρὸν
and the coming-upon him dangers to-disregard (the)-time
γάρ, φησίν, εἶναι ἀγῶνος αὐτῷ τὸ τηνικαῦτα καὶ τὴν
for he-says to-be of-contest for-him the(-time) then and the
γνώμην αὐτοῦ τῇ τῶν πειρασμῶν προσβολῇ δοκιμάζεσθαι.
resolve his by-the of-the temptations assault to-be-tested
ὡς δὲ ἐπεστήριξεν αὐτοῦ τὴν ψυχὴν τοῖς λόγοις τούτοις,
when and he-strengthened his the soul with-the words these
ἐπιστὰς ὁ χιλίαρχος, ὁρμῇ τῆς κακίας φερόμενος,
having-come-up the tribune by-(the)-impulse of-the wickedness borne
ἀπαγγείλαντος αὐτῷ τινος περὶ αὐτοῦ, καὶ ἐπιθεὶς
having-reported to-him someone about him and having-put
κλεῖθρα ταῖς θύραις τῆς φυλακῆς αὐτόν τε καὶ τοὺς
bars on-the doors of-the prison him both and the
μετ᾽ αὐτοῦ μοναχοὺς πάντας κατέκλεισεν, ὡς ἐπιτηδείους
with him monks all shut-in as fit
ἐσομένους πρὸς τὴν στρατιάν, καὶ φύλακας ἱκανοὺς αὐτοῖς
going-to-be for the army and guards enough over-them
καταστήσας ἐπὶ τὴν αὑτοῦ οἰκίαν ἀνεχώρησε, μηδὲ ἄχρι
having-set to the his-own house withdrew not-even as-far-as
ἀκοῆς παρακληθῆναι ὑπ᾽ αὐτῶν ἀνασχόμενος. κατὰ δὲ
hearing to-be-entreated by them having-endured at and
τὸ μεσονύκτιον λαμπαδηφόρος ἄγγελος φαίνεται τοῖς
the midnight torch-bearing (an)-angel appears to-those
φυλάττουσι φωτὶ καταστράπτων πάντας ἐν τῷ οἰκήματι,
guarding with-light dazzling all in the building
ὡς ὑπ᾽ ἐκπλήξεως ἀχανεῖς γενέσθαι τοὺς φύλακας. οἳ
so-that from astonishment speechless to-become the guards who
καὶ ἀναστάντες ἠξίουν αὐτοὺς ἀπελθεῖν ἅπαντας τῶν
also having-risen asked them to-go-away all the

θυρῶν αὐτῶν ἀνοιχθεισῶν· ἄμεινον γὰρ εἶναι τὸ αὐτοὺς
doors themselves having-been-opened better for to-be the themselves
τεθνάναι ὑπὲρ αὐτῶν ὡμολόγουν, ἢ τὴν θεόθεν ἐλθοῦσαν
to-have-died for them they-confessed than the from-God having-come
τοῖς ἀλόγως κατεχομένοις ἐλευθερίαν παριδεῖν. ὁ τοίνυν
to-those unreasonably held freedom to-overlook the then
χιλίαρχος σὺν τοῖς ἄρχουσιν ἕωθεν τῇ φυλακῇ ἐπιστὰς
tribune with the magistrates at-dawn to-the prison having-come-up
ἐσπούδαζε τοὺς ἄνδρας τῆς πόλεως ἐξελθεῖν. σεισμῷ
urged the men from-the city to-go-out by-(an)-earthquake
γὰρ τὸν οἶκον αὐτοῦ ἔφασκε πεπτωκέναι καὶ τοὺς
for the house his he-said to-have-fallen and the
βελτίστους τῶν θεραπόντων αὐτοῦ κατειληφέναι. οἳ δὲ ὡς
best of-the servants his to-have-overtaken they and when
ἤκουσαν φωνὰς εὐχαριστηρίους ᾄδοντες τῷ θεῷ ἀπῄεσαν
they-heard words thankful singing — to-God went-off
ἐπὶ τὴν ἔρημον καὶ ἦσαν λοιπὸν ὁμοῦ πάντες κατὰ
to the desert and were henceforth together all according-to
τὸν ἀποστολικὸν λόγον ἔχοντες καρδίαν καὶ ψυχὴν μίαν.
the apostolic word having heart and soul one
Ἐδίδασκε δὲ αὐτοὺς καθ' ἡμέραν διαπρέπειν ταῖς ἀρεταῖς
he-taught and them each day to-excel in-the virtues
καὶ τὰς μηχανὰς τοῦ διαβόλου τὰς ἐν τοῖς λογισμοῖς
and the devices of-the devil the(-ones) in the thoughts
παρὰ τὴν ἀρχὴν εὐθὺς διακρούεσθαι. θραυσθείσης γάρ,
at the beginning at-once to-beat-off having-been-crushed for
φησί, τῆς κεφαλῆς τοῦ ὄφεως ἅπαν τὸ σῶμα νεκρόν
he-says the head of-the serpent all the body dead
ἐστι. τηρεῖν γὰρ ἡμῖν, φησίν, ὁ κύριος ἐντέλλεται τὴν
is to-watch for us he-says the Lord commands the
κεφαλὴν τοῦ ὄφεως. τοῦτο δὲ ἐστίν, ἵνα μηδὲ παρὰ τὴν
head of-the serpent this and is that not-even at the

ἀρχὴν τοὺς φαύλους καὶ ἀπρεπεῖς λογισμοὺς διανοεῖσθαι
beginning the base and unseemly thoughts to-entertain
καταδεξώμεθα, ἀλλὰ καὶ τὴν αἰσχρὰν φαντασίαν τοῦ νοὸς
we-accept but even the shameful image of-the mind
ἡμῶν ἀπαλεῖψαι, πειρᾶσθαι δὲ ἀλλήλους ὑπερβάλλειν ταῖς
our to-wipe-out to-try and one-another to-surpass in-the
ἀρεταῖς, μή τις ἐλάττων ἐν ταῖς εὐδοκιμήσεσι ταύταις
virtues lest anyone less in the distinctions these
τοῦ ἑτέρου φανείη. τεκμήριον δέ, φησίν, ὑμῶν ἔστω ἡ τῶν
than-the other appear (a)-proof and he-says your let-be the of-the
ἀρετῶν προκοπή, ὅταν τὴν ἀπάθειαν καὶ τὴν ἀνορεξίαν
virtues progress when the dispassion and the freedom-from-appetite
κτήσησθε· ἀρχὴ γὰρ τῶν τοῦ θεοῦ χαρισμάτων
you-acquire (the)-beginning for of-the — of-God gifts
ἐστὶ ταῦτα. ὅταν δὲ καὶ θαυμάτων ἐπίδειξιν παρὰ θεοῦ
are these when and also of-wonders (a)-display from God
κτήσηταί τις, μὴ δὴ ὡς ἱκανῶς ἔχων πεφυσιούσθω,
acquires anyone not indeed as enough having let-him-be-puffed-up
μηδὲ ἐπαρθῇ τῷ λογισμῷ ὡς ἤδη τι πλέον παρὰ
nor be-elated in-the thought as already something more beyond
τοὺς ἄλλους τετιμημένος, μηδὲ ὡς ἐπιδεικνύμενος πᾶσιν,
the others honored nor as showing to-all
ὅτι τοιαύτης ἔλαχε χάριτος· εἰ δὲ μή, φρεναπατᾷ ἑαυτὸν
that such he-obtained grace if but not he-deceives himself
συληθεὶς τὰς φρένας καὶ τῆς χάριτος ζημιωθείς.
robbed-of the wits and the grace having-lost
Εἶχεν οὖν μεγάλα ταῦτα ἐν τοῖς λογισμοῖς διδάγματα, ὧν
he-had so great these in the thoughts teachings which
καὶ ἡμεῖς πολλάκις ὕστερον παρ᾽ αὐτοῦ ἀκηκόαμεν. ἐν δὲ
also we often later from him have-heard in and
τοῖς ἔργοις μείζονα ἐπετέλει — πᾶν γὰρ αἴτημα αὐτῷ
the works greater(-things) he-performed every for request to-him

εὐθὺς ἐδίδοτο παρὰ θεοῦ αἰτουμένῳ — καὶ ἀποκαλύψεις δὲ
at-once was-given from God asking and revelations too
ἑώρα τινάς. εἶδεν γὰρ τὸν ἑαυτοῦ πρεσβύτερον ἀδελφὸν καὶ
he-saw some he-saw for the his-own elder brother also
αὐτὸν ἐν τῇ ἐρήμῳ τελειωθέντα καὶ μείζονα πολιτείαν ὑπὲρ
himself in the desert having-been-perfected and greater way-of-life beyond
αὐτὸν ἐνδειξάμενον, ᾧ καὶ αὐτὸς ἐν τῇ ἐρήμῳ πολὺν
him having-displayed with-whom also he in the desert much
συνέζησε χρόνον. καθ' ὕπνον οὖν ἐφαντάζετο σύνθρονον
lived-with time in sleep so he-saw-in-vision sharing-the-throne
αὐτὸν τῶν ἀποστόλων γινόμενον καὶ τὴν κληρονομίαν τῶν
him of-the apostles becoming and the inheritance of-the
ἀρετῶν αὐτῷ καταλείψαντα, καὶ ὡς ἐπρέσβευεν ὑπὲρ αὐτοῦ
virtues to-him having-left and how he-interceded for him
τὸν θεὸν ἱκετεύων ταχεῖαν αὐτοῦ τὴν μετάθεσιν ποιεῖσθαι
— God beseeching swift his the removal to-make
καὶ σὺν αὐτῷ εἰς τοὺς οὐρανοὺς ἀναπαύεσθαι, εἰπόντος πρὸς
and with him in the heavens to-rest having-said to
αὐτὸν τοῦ σωτῆρος· ἔτι μικρὸν αὐτὸν χρεωστεῖν αὐτῷ χρόνον
him the savior still little him to-owe to-him time
ἐπὶ τῆς γῆς πρὸς τὴν τελείωσιν, ἄχρις ἂν τῆς πολιτείας
on the earth for the perfection until — of-the way-of-life
αὐτοῦ πολλοὶ ζηλωταὶ ἔσωνται. λαὸς γὰρ αὐτῷ μέγας
his many emulators should-be (a)-people for to-him great
τῶν μοναχῶν ἐμπιστευθήσεσθαι ἔμελλε καὶ στρατιά τις
of-the monks to-be-entrusted was-about and army a-certain
εὐσεβής, ἵνα ἀξίαν τῶν καμάτων τὴν εὐδοκίμησιν οὕτως
pious that worthy of-the labors the esteem thus
σχοίη παρὰ τῷ κρείττονι. ταῦτα ἑώρα, ἅπερ καὶ γέγονεν.
he-might-have with the mightier(-one) these he-saw which also happened

Συνελθόντων γὰρ πολλῶν μοναχῶν πρὸς αὐτὸν καὶ
having-come-together for many monks to him and
διὰ τῆς διδαχῆς αὐτοῦ καὶ τῆς ἀναστροφῆς πλείστων
through the teaching his and the conduct very-many
ἀποταξαμένων τῷ κόσμῳ, ἐγένετο συνοικία τῶν ἀδελφῶν
having-renounced the world there-came-to-be (a)-settlement of-the brothers
ὁμοῦ πρὸς αὐτὸν ἐν τῷ ὄρει ἄχρι πεντακοσίων κοινὸν
together with him on the mountain up-to five-hundred common
τὸν βίον ἐχόντων καὶ τράπεζαν μίαν διαιτωμένων. καὶ
the life having and table one living-at and
ἦν ἰδεῖν αὐτοὺς ἀγγελικήν τινα ἀληθῶς στρατιὰν
it-was(-possible) to-see them angelic a-certain truly army
κεκοσμημένων κόσμῳ παντὶ λευκοφορούντων καὶ τὸ
adorned with-adornment every wearing-white and the(-word)
τῆς γραφῆς ἐπ᾽ αὐτοῖς πεπληρῶσθαι λεγούσης· εὐφράνθητι
of-the scripture in them to-have-been-fulfilled saying rejoice
ἔρημος διψῶσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι
desert thirsting break-forth and cry the(-one) not being-in-labor for
πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης
many the children of-the desert rather than of-the(-one) having
τὸν ἄνδρα. πεπλήρωτο μὲν γὰρ καὶ ἐπὶ τῆς ἐξ ἐθνῶν
the husband had-been-fulfilled indeed for also in the from (the)-gentiles
ἐκκλησίας τὸ προφητικὸν τοῦτο λόγιον. τετέλεσται
church the prophetic this oracle has-been-accomplished
δὲ καὶ ἐπὶ τῆς Αἰγυπτιακῆς ἐρήμου πλείονα τέκνα θεῷ
and also in the Egyptian desert more children to-God
παριστώσης ὑπὲρ τὴν οἰκουμένην γῆν. ποῦ γὰρ τοσαῦται
presenting beyond the inhabited land where for so-many
ἐν ταῖς πόλεσι τῶν μοναχῶν ἀγέλαι, ὅσας αἱ κατ᾽
in the cities of-the monks flocks as-many-as the(-ones) in
Αἴγυπτον ἔρημοι τῷ θεῷ παριστῶσιν; ὅσοι γὰρ ἐνταῦθα
Egypt deserts — to-God present as-many-as for here

λαοί, τοσοῦτοι ἐν ταῖς ἐρήμοις μοναχοί. κἀμοὶ δοκεῖ τὸ τοῦ
peoples so-many in the deserts monks and-to-me seems the of-the
ἀποστόλου ῥητὸν καὶ ἐπ' αὐτοῖς πεπληρῶσθαι λέγοντος·
apostle word also in them to-have-been-fulfilled saying
ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ ὑπερεπερίσσευσεν ἡ χάρις.
where abounded the sin there superabounded the grace
ἐπλεόνασε γάρ ποτε ἐν Αἰγύπτῳ πολλή τις καὶ ἄσεμνος
abounded for once in Egypt much a-certain and indecent
εἰδωλολατρεία, ὡς ἐν οὐδενὶ ἔθνει. κύνας γὰρ καὶ πιθήκους
idolatry as in no nation dogs for and apes
καὶ ἄλλα τινὰ ἐθεράπευον καὶ σκόροδα καὶ κρόμμυα
and other some(-things) they-worshiped and garlic and onions
καὶ πολλὰ τῶν εὐτελῶν λαχάνων θεοὺς ἐνόμιζον, ὡς
and many of-the cheap vegetables gods they-held as
αὐτοῦ τοῦ ἁγίου πατρὸς Ἀπολλῶ ἠκούσαμεν διηγουμένου
himself the holy father Apollo we-heard relating
περὶ αὐτῶν καὶ τῆς προτέρας πολυθεΐας τὴν αἰτίαν
about them and of-the former polytheism the cause
ἀπαγγέλλοντος. τὸν μὲν γὰρ βοῦν, φησίν, ἐθεοποίουν οἱ
reporting the indeed for ox he-says deified the
τὸ πρὶν παροικοῦντες ἡμῖν Ἕλληνες, ἐπειδὴ δι' αὐτοῦ
— formerly living-beside us pagans since through it
τὴν γεωργίαν ἐπιτελοῦντες τὴν τροφὴν ἐπορίζοντο· τὸ
the farming accomplishing the food they-procured the
δὲ ὕδωρ τοῦ Νείλου, ὅτι τὰς χώρας ἁπάσας ἤρδευεν·
and water — of-(the)-Nile because the lands all watered
ἐσέβοντο δὲ καὶ τὴν γῆν, ὡς εὐφορωτάτην οὖσαν παρὰ
they-revered and also the earth as most-fertile being beyond
τὰς ἄλλας χώρας. τὰ δὲ λοιπὰ βδελύγματα, κύνας τε
the other lands the and other abominations dogs both
καὶ πιθήκους καὶ πᾶσαν τὴν λοιπὴν ἀπρέπειαν τῶν ζώων
and apes and all the other unseemliness of-the animals

τε καὶ λαχάνων ἐθεράπευον, καθότι προφάσεις αὐτοῖς αἱ
both and vegetables they-worshiped because pretexts for-them the
περὶ ταῦτα χρεῖαι γέγοναν ἐν τῷ καιρῷ τοῦ Φαραὼ
about these occupations became in the time — of-Pharaoh
τοὺς ἀνθρώπους ἀπασχολῆσαι, ἡνίκα ἐκεῖνος τὸν Ἰσραὴλ
the men to-keep-busy when he — Israel
διώκων κατεποντίσθη. ἕκαστος γὰρ περὶ ὃ ἠσχολήθη μὴ
pursuing was-drowned each for about what he-was-busied not
ἐξακολουθήσας τῷ Φαραώ, τοῦτο ἐθεοποίησε λέγων· "τοῦτό
having-followed — Pharaoh this deified saying this
μοι θεὸς γέγονε σήμερον· διὸ οὐ συναπωλόμην τῷ
to-me (a)-god has-become today wherefore not I-perished-with —
Φαραώ". ταῦτα μὲν ἐν λόγοις εἶχεν ὁ ἅγιος Ἀπολλῶς.
Pharaoh these indeed in words had the holy Apollo
Πρὸ δὲ τῶν λόγων, ἅπερ ἐν τοῖς ἔργοις ἐκέκτητο χρὴ
before and the words what in the works he-possessed one-must
γράψαι. ἦσαν γὰρ αὐτῷ ποτε Ἕλληνες παροικοῦντες κατὰ
to-write were for to-him once pagans dwelling-near in
πάντας τοὺς τόπους, καὶ κῶμαι δέκα μᾶλλον αἱ πλησίον
all the places and villages ten rather those near
αὐτοῦ τὴν δαιμονικὴν εἰδωλολατρείαν ἐσέβοντο. ναὸς δὲ
him the demonic idolatry revered (a)-temple and
ἦν μέγιστος ἐν μιᾷ τῶν κωμῶν καὶ εἴδωλον ἐν αὐτῷ
was very-great in one of-the villages and (an)-idol in it
ἐπιφανέστατον. ξύλινον δὲ ἄρα τὸ ξόανον τοῦτο ἦν.
most-famous wooden and after-all the image this was
ἐπόμπευον δὲ περιφέροντες αὐτὸ κατὰ τὰς κώμας οἱ ἱερεῖς
paraded and carrying-around it through the villages the priests
βακχεύοντες μετὰ τοῦ πλήθους, ὡς δὴ ὑπὲρ τοῦ ποταμίου
raving with the crowd as indeed for the river
ὕδατος τὴν τελετὴν ἀποδιδόντες. συνέβη δὲ κατ' ἐκεῖνον
water the rite rendering it-happened and at that

τὸν καιρὸν ἐκεῖθεν παριέναι τὸν ἅγιον Ἀπολλῶ ἅμα τισὶν
the time from-there to-pass-by the holy Apollo with some
ὀλίγοις ἀδελφοῖς. ὡς δὲ εἶδεν τὸ πλῆθος δαιμονιωδῶς
few brothers when and he-saw the crowd demonically
κατὰ τὴν χώραν μαινόμενον, κάμψας τὰ γόνατα καὶ
through the country raging having-bent the knees and
προσευξάμενος τῷ σωτῆρι πάντας τοὺς Ἕλληνας ἀκινήτους
having-prayed to-the savior all the pagans motionless
ἐποίησεν. ὡς δὲ προελθεῖν ἐκείνου τοῦ τόπου οὐκ ἠδύναντο,
he-made when and to-go-forward from-that the place not they-could
ἄλλος τὸν ἄλλον ὠθοῦντες, καὶ ἐφρύγοντο τῷ καύματι
one the other pushing and they-were-parched by-the heat
πανημέριοι τὸ συμβὰν αὐτοῖς ἀποροῦντες, πόθεν
all-day the(-thing) having-befallen them being-at-a-loss whence
γεγένηται· τότε οἱ ἱερεῖς αὐτῶν ἔφασκον, Χριστιανόν
it-had-come then the priests their declared Christian
τινα εἶναι ἐν τοῖς ὁρίοις αὐτῶν καταμένοντα εἰς τὴν
a-certain to-be in the borders their dwelling in the
ἔρημον καὶ ταῦτα αὐτοῖς ἐνεργοῦντα, τὸν Ἀπολλῶ
desert and these(-things) on-them working — Apollo
λέγοντες, καὶ δεῖν αὐτὸν ἱκετεύειν, ἵνα μὴ κινδυνεύσωσιν.
saying and must him to-beseech that not they-be-endangered
ὡς δὲ οἱ πόρρωθεν προσοικοῦντες τὰς φωνὰς καὶ τὸν
when and those far-off dwelling-near the cries and the
θρῦλον ἀκούσαντες παρεγένοντο, ἠρώτων· "τί τὸ
din having-heard came they-asked what the(-thing)
συμβὰν ὑμῖν ἐξαίφνης, ἢ πόθεν γέγονεν τὸ τοιοῦτον;"
having-befallen you suddenly or whence has-come the such(-thing)
οἱ δὲ οὐκ εἰδέναι ἔφησαν, πλὴν ἐν ὑποψίᾳ εἶναι περὶ
they and not to-know said except in suspicion to-be about
τοῦ ἀνδρὸς λέγοντες, ὅτι δεῖ ἐξιλεοῦσθαι ἐκεῖνον· οἱ
the man saying that one-must to-propitiate him others

δὲ καὶ ἐμαρτύρουν ὡς θεασάμενοι αὐτὸν παριόντα. καὶ
and also testified as having-seen him passing-by and
ὡς ἠξίουν αὐτοὺς ταχεῖαν αὐτοῖς γενέσθαι τὴν βοήθειαν,
when they-asked them swift for-them to-be the help
ταύρους ἀγαγόντες μετακινεῖν τὸ εἴδωλον ἐπειρῶντο.
bulls having-brought to-move the idol they-tried
τὸ δὲ ὡς ἀκίνητον σὺν αὐτοῖς τοῖς ἱερεῦσι διέμενε,
it and as motionless with themselves the priests remained
μηδεμίαν ἑτέραν μηχανὴν ἐφευρόντες πρεσβείαν διὰ
no other device having-found (an)-embassy through
τῶν παροικούντων πρὸς τὸν Ἀπολλῶ ἔπεμπον, ὥστε
those dwelling-near to — Apollo they-sent so-that
ἀπαλλαγέντας ἐκεῖθεν ἀποστῆναι τῆς πλάνης. τούτων δὲ
having-been-released from-there to-depart from-the error these and
τῷ ἀνδρὶ δηλωθέντων κατῆλθεν ὡς τάχιστα πρὸς
to-the man having-been-made-known came-down as quickly-as-possible to
αὐτοὺς ὁ τοῦ θεοῦ ἄνθρωπος καὶ προσευξάμενος πάντας
them the — of-God man and having-prayed all
ἔλυσε τοῦ δεσμοῦ. οἱ δὲ ὁμοθυμαδὸν ἅπαντες πρὸς αὐτὸν
he-loosed from-the bond they and with-one-accord all to him
ὥρμησαν τῷ σωτῆρι τῶν ὅλων καὶ παραδοξοποιῷ θεῷ
rushed to-the savior of-the whole(-things) and wonder-working God
καταπιστεύσαντες ἑαυτοὺς καὶ τὸ εἴδωλον εὐθὺς τῷ πυρὶ
having-entrusted themselves and the idol at-once to-the fire
παραδόντες. οὓς ἅπαντας κατηχήσας καὶ βαπτίσας ταῖς
having-handed-over whom all having-catechized and having-baptized to-the
ἐκκλησίαις προσέθηκεν. πολλοὶ δὲ αὐτῶν μέχρι τοῦ νῦν ἐν
churches he-added many and of-them until the now in
τοῖς μοναστηρίοις διάγουσιν. διέδραμε δὲ πανταχοῦ ἡ φήμη
the monasteries live spread and everywhere the report

περὶ αὐτοῦ καὶ ἐπίστευσαν πολλοὶ δι' αὐτοῦ ἐπὶ τὸν κύριον,
about him and believed many through him in the Lord
ὡς μηκέτι ἐν τοῖς ὁρίοις ἐκείνοις Ἕλληνα ὀνομάζεσθαι.
so-that no-longer in the borders those (a)-pagan to-be-named
Μετ' οὐ πολὺ δὲ τοῦ χρόνου δύο κῶμαι πρὸς ἀλλήλας
after not much and the time two villages with one-another
συμβάλλουσιν πόλεμον ὑπὲρ ἀρουρῶν διαμαχόμεναι. ὡς δὲ
join war over fields fighting when and
ἔμαθεν ὁ ἅγιος, εὐθὺς κατήει πρὸς αὐτούς, διαλλάσσων
learned the saint at-once he-went-down to them reconciling
αὐτοὺς εἰς εἰρήνην. οἱ δὲ ἐξ ἐναντίας οὐκ ἐπείθοντο, ἀλλ'
them to peace those but on (the)-opposite(-side) not obeyed but
ἦσαν αὐτῷ ἀντιλέγοντες ἐφ' ἑνί τινι ἀρχιληστῇ πεποιθότες
were him gainsaying on one a-certain robber-chief relying
ὡς γενναιοτάτῳ πρὸς πόλεμον. ἰδὼν δὲ αὐτὸν ὁ Ἀπολλῶς
as most-valiant for war having-seen and him — Apollo
ἀντιλέγοντα εἶπε πρὸς αὐτόν· "εἰ πεισθῇς μοι, ὦ φίλος,
gainsaying said to him if you-obey me O friend
ἐρωτήσω μου τὸν δεσπότην ἀφεθῆναί σου τὰς ἁμαρτίας". ὁ
I-will-ask my the master to-be-forgiven your the sins he
δὲ ὡς ἤκουσεν τὸν λόγον, οὐ διημέλλησεν, ἀλλὰ ῥίψας
and when he-heard the word not delayed but having-thrown
τὰ ὅπλα τοῖς γόνασιν αὐτοῦ προσέπεσε καὶ μεσίτης εἰρήνης
the weapons at-the knees his fell-down and mediator of-peace
γενόμενος τοὺς ἰδίους εἰς τὰ ἴδια ἀπέστρεψεν. τῶν
having-become the own(-men) to the own(-homes) sent-back the
δὲ εἰρηνευσάντων καὶ ἀπελθόντων ὁ διαβόητος αὐτῶν
and having-made-peace and having-gone-away the famous their
πρόμαχος εἵπετο λοιπὸν τῷ ἀνδρὶ τὴν ὑπόσχεσιν φανερῶς
champion followed then the man the promise openly
ἀπαιτῶν. ὃν προσλαβόμενος ὁ μακάριος Ἀπολλῶς ἐν
demanding whom having-taken-with(-him) the blessed Apollo in

τῇ ἐρήμῳ ἐνουθέτει καὶ παρεκάλει μακροθυμεῖν· δυνατὸν
the desert admonished and exhorted to-be-patient able
εἶναι τὸν θεὸν λέγων τοῦτο αὐτῷ παρασχεῖν.
to-be — God saying this to-him to-grant
ὡς δὲ ἡ νὺξ ἐπέστη ἄμφω κατ᾽ ὄναρ ἐθεώρουν τοὺς
when and the night came-on both in (a)-dream beheld the
ἀγγέλους σὺν τοῖς δικαίοις τῷ θεῷ προσκυνοῦντας. ὡς δὲ
angels with the righteous — to-God worshiping when and
καὶ οὗτοι πεσόντες ὁμοῦ ἐπὶ πρόσωπον προσεκύνησαν τῷ
also these having-fallen together on (their)-face worshiped the
σωτῆρι, φωνὴ πρὸς αὐτοὺς γέγονε τοῦ θεοῦ λέγοντος· τίς
savior (a)-voice to them came — of-God saying what
κοινωνία φωτὶ πρὸς σκότος ἢ τίς μερὶς πιστῷ μετὰ
fellowship for-light with darkness or what portion for-(a)-believer with
ἀπίστου; τί δὲ καὶ ὁ ἀνδροφόνος σὺν τῷ δικαίῳ
(an)-unbeliever why and also the murderer with the righteous(-man)
παρέστηκεν ἀνάξιος ὢν τῆς τοιαύτης θεωρίας; ἀλλ᾽
stands unworthy being of-the such vision but
ἄπελθε σύ, ὦ ἄνθρωπε· κεχάρισται γάρ σοι ὁ ὀψιγόνος
go-away you O man has-been-granted for to-you the late-born
οὗτος πρόσφυξ". ἄλλα τε πολλὰ θαύματα ἰδόντες τε καὶ
this refugee other and many wonders having-seen both and
ἀκούσαντες, ἃ οὔτε λόγος τολμᾷ φράσαι, οὔτε οὖς ἀκοῦσαι,
having-heard which neither speech dares to-tell nor ear to-hear
ἔξυπνοι γενόμενοι τοῖς συνοῦσιν ἀπήγγελον. θαῦμα δὲ
awake having-become to-those with(-them) they-reported wonder and
πάντας εἶχεν ἐξαίσιον, τὸ ἓν ὅραμα ἀμφοτέρων διηγουμένων.
all held extraordinary the one vision both relating
διέμενε γοῦν σὺν τοῖς ἀσκηταῖς ὁ οὐκέτι ἀνδροφόνος
remained at-any-rate with the ascetics the no-longer murderer

ἄχρι τῆς τελευτῆς τὸν ἑαυτοῦ τρόπον διορθωσάμενος οἷον
until the end the his-own manner having-corrected like
ἀρνίον τι ἄκακον ἐκ λύκου μεταβληθείς.
lamb some innocent from (a)-wolf having-been-changed
ἐπληροῦτο δὲ καὶ ἐπ' αὐτῷ ἡ προφητεία Ἡσαίου
was-fulfilled and also in him the prophecy of-Isaiah
λέγοντος· λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται καὶ λέων
saying wolves and lambs together will-feed and (a)-lion
καὶ βοῦς ἅμα φάγονται ἄχυρα. ἦν γὰρ ἰδεῖν ἐκεῖ
and (an)-ox together will-eat straw it-was(-possible) for to-see there
καὶ Αἰθίοπας σὺν τοῖς μοναχοῖς ἀσκοῦντας καὶ πολλοὺς
also Ethiopians with the monks practicing-discipline and many
ὑπερβάλλοντας ἐν ταῖς ἀρεταῖς καὶ πεπληρωμένην ἐπ'
surpassing in the virtues and fulfilled in
αὐτοῖς τὴν γραφὴν λέγουσαν· Αἰθιοπία προφθάσει χεῖρα
them the scripture saying Ethiopia will-hasten hand
αὐτῆς τῷ θεῷ. Ἄλλοτε δὲ ἦσαν Ἕλληνες πρὸς Χριστιανοὺς
her — to-God another-time and were pagans against Christians
κωμῆται διαμαχόμενοι ὑπὲρ ὁρίων αὐτῶν. πλῆθος δὲ ἦν
villagers fighting over boundaries their (a)-multitude and was
ἑκατέρων ἐνόπλων. οἷς ἐπέστη ὁ Ἀπολλῶς εἰρηνεύων.
of-each-side armed to-whom came — Apollo making-peace
ἀνθίστατο δὲ αὐτῷ ὁ τῶν Ἑλλήνων πρόμαχος δεινός τις
opposed and him the of-the pagans champion fierce a-certain
καὶ ἄγριος ὢν διαβεβαιούμενος καὶ λέγων, μὴ δώσειν
and savage being affirming and saying not he-would-give
εἰρήνην ἄχρι θανάτου. ὁ δὲ φησὶν πρὸς αὐτόν· "καὶ δὴ
peace until death he and says to him and indeed
γενέσθω, ὅπερ εἵλου. οὐδεὶς γὰρ ἕτερος ἀναιρεθήσεται
let-it-be what you-chose no-one for other will-be-slain

πλήν σου. ἔσται δέ σοι θανόντι οὐχ ἡ γῆ τάφος, ἀλλὰ
except you will-be and for-you having-died not the earth (a)-tomb but
γαστέρες θηρίων καὶ γυπῶν πλησθήσονται ἀπό σου".
bellies of-beasts and of-vultures will-be-filled from you
καὶ δὴ ὁ λόγος εὐθὺς εἰς ἔργον γέγονεν, οὐδενὸς ἐξ
and indeed the word at-once into deed became no-one from
ἑκατέρου μέρους ἀναιρεθέντος πλὴν τοῦ προμάχου· ὃν
either side having-been-slain except the champion whom
καὶ χώσαντες ἐν τῇ ἄμμῳ πρωὶ εὗρον εἰς μέλη
also having-buried in the sand in-the-morning they-found into limbs
ἐσπαραγμένον ὑπὸ γυπῶν καὶ ὑαινῶν. οἱ δὲ ὡς εἶδον
torn by vultures and hyenas they and when they-saw
τὸ θαῦμα καὶ τὴν τοῦ λόγου ἔκβασιν πάντες τῷ σωτῆρι
the wonder and the of-the word outcome all in-the savior
πιστεύσαντες προφήτην αὐτὸν ἀνεκήρυττον. Ἦν δὲ πρὸ
having-believed (a)-prophet him proclaimed was and before
τούτου ἐν τῷ σπηλαίῳ τοῦ ὄρους ὁ ἅγιος Ἀπολλὼς σὺν
this in the cave of-the mountain the holy Apollo with
πέντε τισὶν ἀδελφοῖς, οἳ πρῶτοι πρὸς αὐτοῦ ἐμαθητεύοντο
five some brothers who first by him were-discipled
νεωστὶ τῆς ἐρήμου ἐληλυθότες. ἐπῆλθε δὲ ἡ ἑορτὴ
newly from-the desert having-come came-on and the feast
τοῦ πάσχα καὶ τὴν λατρείαν τῷ θεῷ ἐν τῷ σπηλαίῳ
of-the Pascha and the service — to-God in the cave
ἀποπληρώσαντες ἔμελλον τὰ εὑρισκόμενα διαιτᾶσθαι.
having-completed they-were-about the(-things) being-found to-live-on
ἦσαν δὲ ἄρτοι ὀλίγοι ξηροὶ καὶ σύνθετά τινα λάχανα. καὶ
were and loaves few dry and pickled some vegetables and
δὴ πρὸς αὐτοὺς ὁ Ἀπολλὼς ἔφη· "εἰ πιστοὶ ἐσμέν, ὦ
indeed to them — Apollo said if faithful we-are O

τέκνα, καὶ γνήσιοι τοῦ Χριστοῦ παῖδες, αἰτησάσθω ἕκαστος
children and genuine — of-Christ sons let-ask each
ἡμῶν παρὰ θεοῦ, ὃ καταθύμιον ἔχει πρὸς τὴν μετάληψιν".
of-us from God what desirable he-holds for the partaking
οἱ δὲ ὡς αὐτῷ τὸ πᾶν ἐπέστρεψαν ἀναξίους ἑαυτοὺς
they and as to-him the whole turned-over unworthy themselves
ἡγούμενοι ταύτης τῆς χάριτος, φαιδρῷ τῷ προσώπῳ
thinking of-this the grace with-bright the face
προσευξαμένου αὐτοῦ καὶ πάντων τὸ "ἀμὴν" εἰρηκότων,
having-prayed he and all the amen having-said
εὐθὺς ἐπέστησαν τῷ σπηλαίῳ νυκτός τινες ἄνδρες ἄγνωστοι
at-once stood-at the cave by-night some men unknown
παντελῶς καὶ πόρρωθεν ἑαυτοὺς ἥκειν φάσκοντες
completely and from-afar themselves to-have-come declaring
πάντα φέροντες, ὅσα οὐδ' εἰς ἀκοὴν αὐτῶν ἐληλύθει
all bringing as-many-as not-even to hearing their had-come
καὶ ὅσα ἐν Αἰγύπτῳ οὐ γίνονται, καρποὺς παντοδαποὺς
and as-many-as in Egypt not grow fruits of-every-kind
παραδείσου, σταφυλὰς καὶ ῥοὰς καὶ σῦκα καὶ κάρυα
of-paradise grapes and pomegranates and figs and nuts
παρὰ καιρὸν ἅπαντα εὑρημένα, καὶ μέλι καὶ κηρία τινὰ
out-of season all found and honey and combs some
καὶ γάλακτος νεαροῦ στάμνον καὶ νικολάους παμμεγέθεις,
and of-milk fresh (a)-jar and nicolaus-dates huge
ἄρτους δέκα καθαροὺς καὶ θερμούς. οἱ δὲ κομίσαντες αὐτὰ
loaves ten clean and warm the and having-brought them
ἄνδρες ἐπιδόντες ὡς παρά τινος μεγάλου ἀνδρὸς καὶ
men having-handed(-them) as from a-certain great man and
πλουσίου ἀποσταλέντα εὐθὺς μετὰ σπουδῆς ἀνεχώρησαν.
rich sent at-once with haste withdrew
μεταλαβόντες δὲ τῶν ἐδωδίμων ἄχρι πεντηκοστῆς ἐξ
having-partaken and of-the eatables until Pentecost from

αὐτῶν ἐπηρκέσθησαν, ὥστε θαυμάζειν αὐτοὺς καὶ λέγειν,
them they-were-supplied so-that to-wonder them and to-say
ὅτι· "ἀληθῶς ταῦτα παρὰ θεοῦ ἀπεστάλησαν".
that truly these from God were-sent
Εἷς δέ τις τῶν μοναχῶν ἠξίου τὸν πατέρα δεηθῆναι
one and a-certain of-the monks asked the father to-pray
ὑπὲρ αὐτοῦ χάριτός τινος ἀξιοῦσθαι. προσευξαμένου
for him grace a-certain to-be-deemed-worthy-of having-prayed
δὲ αὐτοῦ ἡ τῆς ταπεινοφροσύνης αὐτῷ δίδοται χάρις
and him the of-the humility to-him is-given grace
καὶ τῆς πραότητος, ὡς θαυμάζειν πάντας περὶ αὐτοῦ
and of-the meekness so-that to-wonder all about him
ὑπερβολὴν πραότητος κτησαμένου. ἐξηγοῦντο δὲ ἡμῖν
excess of-meekness having-acquired related and to-us
οἱ περὶ αὐτὸν πατέρες ταύτας αὐτοῦ τὰς δυνάμεις,
the about him fathers these his the powers
μαρτυρούντων ταῦτα καὶ πολλῶν ἀδελφῶν. Καὶ γὰρ λιμοῦ
testifying-to these also many brothers and for (a)-famine
ποτε οὐ πρὸ πολλοῦ τινος χρόνου κατὰ τὴν Θηβαίδα
once not before long some time in — (the)-Thebaid
γενομένου ἀκούσαντες οἱ προσοικοῦντες τοῖς τόποις λαοί,
having-come having-heard the dwelling-near the places peoples
ὅτιπερ οἱ περὶ αὐτὸν μοναχοὶ πολλάκις ἐξ ἀμηχάνων
that the about him monks often from impossible(-things)
ἐτρέφοντο, παρῆσαν ὁμοθυμαδὸν πρὸς αὐτὸν σὺν γυναιξὶ
were-fed came with-one-accord to him with wives
καὶ τέκνοις εὐλογίας ἅμα καὶ τροφὴν αἰτοῦντες. ὁ
and children blessings together and food asking he
δὲ μηδὲν δεδιώς, μήποτε λείψῃ τι τῶν βρωμάτων,
and not-at-all having-feared lest run-short any of-the foods
ἐδίδου πᾶσι τοῖς ἐρχομένοις ἑκάστῳ τὸ αὐτάρκες ἡμέριον.
gave to-all those coming to-each the sufficient daily

ὑπολειφθέντων δὲ τριῶν σπυρίδων μεγάλων μόνων μετὰ
having-been-left and three baskets great only with
τῶν ἄρτων καὶ τοῦ λιμοῦ ἐπικρατοῦντος, προστάσσει εἰς
the loaves and the famine prevailing he-orders into
μέσον φέρεσθαι τὰς σπυρίδας, ἃς οἱ μοναχοὶ κατ' αὐτὴν
(the)-middle to-be-brought the baskets which the monks on same
τὴν ἡμέραν ἐσθίειν ἔμελλον, καὶ εἰς ἐπήκοον πάντων τῶν
the day to-eat were-about and in hearing of-all the
ἀδελφῶν καὶ τῶν ὄχλων εἶπε μεγάλῃ τῇ φωνῇ· "μὴ
brothers and the crowds he-said with-great the voice surely-not
οὐκ ἰσχύει ἡ χεὶρ κυρίου πληθῦναι ταῦτα; τάδε λέγει τὸ
not is-strong the hand of-(the)-Lord to-multiply these thus says the
πνεῦμα τὸ ἅγιον· οὐ μὴ ἐκλείψῃ ἄρτος ἐκ τῶν σπυρίδων
spirit the holy not — will-fail bread from the baskets
τούτων, ἄχρις ἂν κορεσθῶμεν ἅπαντες τοῦ νέου σίτου".
these until — we-are-sated all with-the new grain
καὶ διεβεβαιώσαντο πάντες οἱ παραγενόμενοι τότε
and affirmed all those present then
τετράμηνον πᾶσιν ἐπαρκέσαι τοὺς ἄρτους. ὁμοίως δὲ
four-months for-all to-have-sufficed the loaves likewise and
καὶ ἐπὶ ἐλαίου καὶ σίτου πεποίηκεν, ὡς παρεῖναι τὸν
also with oil and grain he-did so-that to-be-present —
σατανᾶν καὶ εἰπεῖν πρὸς αὐτόν· "μὴ Ἠλίας εἶ σὺ ἢ
Satan and to-say to him surely-not Elijah are you or
ἕτερός τις τῶν προφητῶν καὶ ἀποστόλων, ὅτι ταῦτα
other some of-the prophets and apostles that these
τολμᾷς;" ὁ δὲ πρὸς αὐτὸν ἔφη· "τί γάρ; οὐκ ἄνθρωποι
you-dare he and to him said what for not men
ἦσαν οἱ ἅγιοι προφῆται καὶ ἀπόστολοι οἱ ταῦτα ἡμῖν
were the holy prophets and apostles who these to-us
ποιεῖν παραδώσαντες; ἢ τότε μὲν παρῆν ὁ θεός, νῦν δὲ
to-do having-handed-down or then indeed was-present — God now but

ἀπεδήμησεν; δύναται ὁ θεὸς ἀεὶ ποιεῖν ταῦτα καὶ οὐδὲν
has-gone-abroad can — God always to-do these and nothing
ἀδυνατεῖ αὐτῷ. εἰ οὖν ὁ θεὸς ἀγαθός, σὺ διὰ τί πονηρός;"
is-impossible for-him if so — God good you for what evil
τί γὰρ οὐ δεῖ λέγειν καὶ ἃ ἡμεῖς ἑωράκαμεν, ὅτι
why for not must to-tell also what we have-seen that
μεστὰς σπυρίδας εἰσῆγον ἐν ταῖς τραπέζαις τῶν ἀδελφῶν
full baskets brought-in to the tables of-the brothers
οἱ τοὺς ἄρτους εἰσφέροντες καὶ ἐσθιόντων πεντακοσίων
those the loaves bringing-in and eating five-hundred
ἀδελφῶν ἄχρι κόρου μεστὰς πάλιν αὐτὰς ἀπελάμβανον;
brothers until fullness full again them they-received-back
Καὶ ἄλλο δὲ θαῦμα ἰδόντες ἐξεπλάγημεν, ὅπερ καὶ δίκαιόν
and another too wonder having-seen we-were-amazed which also right
ἐστιν εἰπεῖν. ἐλθόντες γὰρ πρὸς αὐτὸν τρεῖς ἡμεῖς ἀδελφοὶ
it-is to-tell having-come for to him three we brothers
ἐγνωρίσθημεν πόρρωθεν ὑπὸ τῶν ἀδελφῶν ὁραθέντες τῶν
we-were-recognized from-afar by the brothers having-been-seen who
προακουσάντων παρ' αὐτοῦ περὶ τῆς ἡμῶν πρὸς αὐτὸν
having-heard-beforehand from him about the our to him
ἀφίξεως. οἱ μετὰ σπουδῆς προσδραμόντες ὑπήντησαν ἡμῖν
arrival who with haste having-run-up met us
ψάλλοντες — τοῦτο γὰρ αὐτοῖς ἔθος ἐστὶν πρὸς πάντας
singing-psalms this for for-them custom is toward all
τοὺς μοναχούς — καὶ προσκυνήσαντες ἐπὶ πρόσωπον ἐπὶ
the monks and having-bowed on (their)-face upon
τὴν γῆν ἐφίλουν ἡμᾶς ἀλλήλοις ἐπιδεικνύντες ἡμᾶς καὶ
the earth they-kissed us to-one-another pointing-out us and
λέγοντες· "ἰδοὺ ἥκασιν οἱ ἀδελφοί, περὶ ὧν ὁ πατὴρ πρὸ
saying behold have-come the brothers about whom the father before
τριῶν ἡμερῶν προείρηκεν ἡμῖν λέγων, ὅτι· "μετὰ τρεῖς
three days foretold to-us saying that after three

ἡμέρας ἥξουσι πρὸς ἡμᾶς τρεῖς ἀδελφοὶ ἀπὸ Ἱεροσολύμων
days will-come to us three brothers from Jerusalem
ἐρχόμενοι".” καὶ οἱ μὲν προσῆγον ἡμῖν, οἱ δὲ
coming and some indeed approached us others and
ἠκολούθουν ὄπισθεν ἡμῶν ψάλλοντες, ἄχρις πλησίον αὐτοῦ
followed behind us singing-psalms until near him
ἐφθάσαμεν. ἀκούσας δὲ ὁ πατὴρ Ἀπολλῶς τῆς φωνῆς τῶν
we-arrived having-heard and the father Apollo the voice of-those
ψαλλόντων ὑπήντησεν ἡμῖν κατὰ τὸ ἔθος αὐτῷ τὸ
singing-psalms met us according-to the custom for-him the(-one)
πρὸς πάντας τοὺς ἀδελφούς. καὶ ἰδὼν ἡμᾶς προσεκύνησε
toward all the brothers and having-seen us bowed
πρῶτος ἐπὶ τὴν γῆν ἑαυτὸν ἐξαπλώσας, καὶ ἀναστὰς
first on the earth himself having-stretched-out and having-risen
ἐφίλησε καὶ εἰσαγαγὼν ὑπερηύξατο καὶ τοὺς πόδας ἡμῶν
kissed(-us) and having-led-in prayed-over(-us) and the feet our
νίψας χερσὶν οἰκείαις πρὸς τὴν ἀνάπαυσιν προετρέψατο.
having-washed with-hands own to the rest he-urged(-us)
τοῦτο δὲ πᾶσιν ἐποίει τοῖς ἐρχομένοις πρὸς αὐτὸν ἀδελφοῖς.
this and for-all he-did those coming to him brothers
οἱ γὰρ σὺν αὐτῷ ἀδελφοὶ οὐ πρότερον τῆς τροφῆς
the for with him brothers not sooner of-the food
μετελάμβανον, πρὶν ἢ τῆς εὐχαριστίας τοῦ Χριστοῦ
partook before — of-the eucharist — of-Christ
κοινωνήσωσιν. τοῦτο δὲ ἐποίουν κατὰ τὴν ἐνάτην ὥραν
they-shared this and they-did at the ninth hour
ἡμέριον. εἶθ' οὕτω διαιτηθέντες ἐκάθηντο ἀκούοντες αὐτοῦ
daily then so having-eaten they-sat hearing him
διδάσκοντος πάσας τὰς ἐντολὰς ἄχρι τοῦ πρωτοϋπνίου.
teaching all the commandments until the first-sleep
ἐκεῖθεν οἱ μὲν ἐξ αὐτῶν ἐπὶ τὴν ἔρημον ἀνεχώρουν,
thereupon some indeed of them to the desert withdrew

ἀποστηθίζοντες τὰς γραφὰς ὅλην τὴν νύκτα, οἱ δὲ ἐκεῖ
reciting-by-heart the scriptures all the night others and there
προσεκαρτέρουν ἀπαύστοις ὕμνοις τὸν θεὸν εὐφημοῦντες
persevered with-unceasing hymns — God praising
ἄχρις ἡμέρας. οὓς ἐγὼ αὐτὸς αὐτοψεὶ ἐθεασάμην
until day whom I myself with-my-own-eyes beheld
ἑσπέρας ἀρξαμένους τῶν ὕμνων καὶ μέχρι πρωὶ οὐ
at-evening having-begun the hymns and until morning not
παυσαμένους τῆς ᾠδῆς. πολλοὶ γοῦν αὐτῶν κατὰ
having-ceased from-the song many at-any-rate of-them at
τὴν ἐνάτην ὥραν κατήρχοντο ἐκ τοῦ ὄρους καὶ τῆς
the ninth hour came-down from the mountain and of-the
εὐχαριστίας μετελάμβανον καὶ πάλιν ἀνῄεσαν ἀρκούμενοι
eucharist partook and again went-up content
τῇ πνευματικῇ μόνον τροφῇ ἄχρις ἄλλης ἐνάτης. τοῦτο
with-the spiritual only food until another ninth this
δὲ ἐποίουν πολλοὶ ἐξ αὐτῶν ἐπὶ πολλὰς ἡμέρας. ἦν
and did many of them for many days it-was(-possible)
δὲ ἰδεῖν αὐτοὺς ἀγαλλιωμένους κατὰ τὴν ἔρημον, ὡς οὐκ
and to-see them exulting in the desert as not
ἄν τις ἴδοι ἐπὶ τῆς γῆς τοιαύτην ἀγαλλίασιν οὐδὲ
— anyone could-see on the earth such exultation nor
εὐφροσύνην σωματικήν. οὐδὲ γὰρ στυγνὸς οὐδὲ κατηφής τις
gladness bodily nor for gloomy nor downcast anyone
ἦν ἐν αὐτοῖς, ἀλλ᾽ εἴ τίς που καὶ στυγνάζων ἐφάνη,
was among them but if anyone somewhere even being-gloomy appeared
εὐθὺς ἐπύθετο παρ᾽ αὐτοῦ ὁ πατὴρ Ἀπολλῶς τὴν αἰτίαν
at-once inquired from him the father Apollo the cause
καὶ τὰ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἑκάστου ἀπήγγελεν.
and the(-things) in the secret of-the heart of-each he-declared

ἔλεγε δέ· "οὐ χρὴ στυγνάζειν ἐπὶ τῇ σωτηρίᾳ μέλλοντας
he-said and not one-must to-be-gloomy over the salvation being-about
βασιλείαν οὐρανῶν κληρονομεῖν· στυγνάσουσι μέν, φησίν,
(the)-kingdom of-heavens to-inherit will-be-gloomy indeed he-says
οἱ Ἕλληνες, κλαύσουσι δὲ οἱ Ἰουδαῖοι, πενθήσουσι δὲ
the pagans will-weep and the Jews will-mourn and
οἱ ἁμαρτωλοί, οἱ δὲ δίκαιοι εὐφρανθήσονται· καὶ οἱ τὰ
the sinners the but righteous will-rejoice and those the
γήινα μὲν φρονοῦντες ἐπὶ τοῖς γηίνοις εὐφραίνονται,
earthly(-things) indeed minding over the earthly(-things) rejoice
ἡμεῖς δὲ οἱ τηλικαύτης ἐλπίδος καταξιωθέντες, πῶς
we but the(-ones) of-so-great hope deemed-worthy how
οὐχὶ διὰ παντὸς εὐφραινόμεθα τοῦ ἀποστόλου ἡμᾶς
not through all do-we-rejoice the apostle us
παραινοῦντος πάντοτε χαίρειν, ἀδιαλείπτως προσεύχεσθαι,
exhorting always to-rejoice unceasingly to-pray
ἐν παντὶ εὐχαριστεῖν; καὶ τί δ' ἄν τις εἴποι τὴν ἐν
in everything to-give-thanks and what too — anyone could-say the in
τοῖς λόγοις αὐτοῦ χάριν καὶ τὰς λοιπὰς αὐτοῦ ἀρετάς,
the words his grace and the other his virtues
ἃς δι' ὑπερβολὴν θαύματος ἐσιωπήσαμεν ἑκάστοτε
which because-of excess of-wonder we-have-passed-over each-time
παρ' αὐτοῦ καὶ τῶν ἄλλων ἀκούοντες; Πολλὰ δὲ περὶ
from him and the others hearing much and about
ἀσκήσεως καὶ πολιτείας ἡμῖν καταμόνας διαλεχθείς,
discipline and way-of-life with-us alone having-discoursed
πολλάκις καὶ περὶ τῆς ὑποδοχῆς τῶν ἀδελφῶν ἔλεγεν,
often also about the reception of-the brothers he-said
ὅτι· "δεῖ ἐρχομένους τοὺς ἀδελφοὺς προσκυνεῖν. οὐ γὰρ
that one-must coming the brothers to-bow-to not for

αὐτούς, ἀλλὰ τὸν θεὸν προσεκύνησας. εἶδες γάρ, φησί,
them but — God you-have-bowed-to you-saw for he-says
τὸν ἀδελφόν σου, εἶδες κύριον τὸν θεόν σου.
the brother your you-saw (the)-Lord — God your
καὶ τοῦτο, φησί, παρὰ τοῦ Ἀβραὰμ παρειλήφαμεν· καὶ
and this he-says from — Abraham we-have-received and
ὅτι δεῖ ἔσθ' ὅτε τοὺς ἀδελφοὺς πρὸς ἀνάπαυσιν
that one-must it-is when the brothers to rest
παραβιάζεσθαι, παρὰ τοῦ Λὼτ μεμαθήκαμεν παραβιασαμένου
to-constrain from — Lot we-have-learned having-constrained
τοὺς ἀγγέλους· καὶ ὅτι δεῖ, εἰ δυνατόν, τοὺς μοναχοὺς καθ'
the angels and that must if possible the monks on
ἑκάστην ἡμέραν τῶν μυστηρίων τοῦ Χριστοῦ κοινωνεῖν. ὁ
each day in-the mysteries — of-Christ to-share he
γὰρ μακρύνων ἑαυτὸν ἀπὸ τούτων, μακρύνεται ἀπὸ τοῦ
for distancing himself from these is-distanced from —
θεοῦ· ὁ δὲ συνεχῶς τοῦτο ποιῶν, συνεχῶς τὸν σωτῆρα
God he but continually this doing continually the savior
ὑποδέχεται. ἡ γὰρ σωτήριος φωνὴ φησίν· ὁ ἐσθίων μου
receives the for saving voice says he eating my
τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα μένει ἐν ἐμοὶ κἀγὼ
the flesh and drinking my the blood abides in me and-I
ἐν αὐτῷ. τοῦτο οὖν συμφέρει τοῖς μοναχοῖς ὑπόμνησιν
in him this so profits the monks remembrance
τοῦ σωτηρίου πάθους συνεχῶς ποιουμένοις καὶ καθ'
of-the saving passion continually making and each
ἡμέραν ἑτοίμους εἶναι παρασκευάζειν ἑαυτοὺς τοιούτους, ὡς
day ready to-be to-prepare themselves such as
ἀξίους εἶναι πάντοτε πρὸς τὴν τῶν οὐρανίων μυστηρίων
worthy to-be always for the of-the heavenly mysteries
ὑποδοχήν, ἐπεὶ καὶ ἀφέσεως ἁμαρτιῶν οὕτω καταξιούμεθα.
reception since also of-forgiveness of-sins thus we-are-deemed-worthy

τὰς δὲ καθολικὰς νηστείας, φησί, μὴ ἐξὸν λύειν
the and general fasts he-says not (it-is)-permitted to-break
ἄνευ πάσης ἀνάγκης· ἐν γὰρ τετράδι ὁ σωτὴρ παρεδόθη,
without all necessity on for Wednesday the savior was-betrayed
ἐν δὲ τῇ παρασκευῇ σταυροῦται. ὁ οὖν ταύτας λύων
on and the Friday is-crucified he so these breaking
συνπαραδίδωσι τὸν σωτῆρα καὶ συσταυροῖ· ἀλλ' ἐὰν ἥκῃ
joins-in-betraying the savior and joins-in-crucifying but if comes
πρὸς ὑμᾶς ἀδελφὸς ἀναπαύσεως δεόμενος νηστείας οὔσης,
to you (a)-brother of-rest needing (a)-fast being
παραθήσεις αὐτῷ μόνῳ τὴν τράπεζαν. εἰ δὲ μὴ βούλεται,
you-will-set-before him alone the table if but not he-wishes
μὴ ἀναγκάσῃς· κοινὴν γὰρ ἔχομεν τὴν παράδοσιν.
not compel common for we-have the tradition
Ἐμέμφετο δὲ πολλὰ τοὺς τὰ σίδηρα φοροῦντας καὶ τοὺς
he-blamed and much those the irons wearing and those
κομῶντας. οὗτοι γὰρ ἐνδεικτιῶσι, καὶ τὴν ἀνθρωπαρέσκειαν
wearing-long-hair these for want-to-show-off and the men-pleasing
θηρῶσιν· δέον αὐτοὺς μᾶλλον νηστείαις ἐκλύειν τὸ
hunt it-being-needful them rather with-fasts to-weaken the
σῶμα καὶ ἐν κρυπτῷ τὸ καλὸν πράττειν· οἱ δὲ οὐχ οὕτως,
body and in secret the good to-do they but not so
ἀλλὰ πᾶσιν ἑαυτοὺς φανεροὺς καθιστῶσιν. Καὶ τί ἄν τις
but to-all themselves conspicuous make and what — anyone
εἴποι τὰς διδαχὰς αὐτοῦ πάσας παραπλησίας οὔσας αὐτοῦ
could-say the teachings his all like being his
τῇ πολιτείᾳ, ἃς οὐδὲ γράψαι τις οὐδὲ φράσαι κατ'
to-the way-of-life which not-even to-write anyone nor to-tell according-to
ἀξίαν δυνήσεται; Πλεῖστα οὖν πολλάκις ἡμῖν καταμόνας
worth will-be-able very-many so often with-us alone
ὅλην τὴν ἑβδομάδα διαλεγόμενος προπέμπων ἡμᾶς ἔλεγεν·
all the week conversing sending-off us he-said

“εἰρήνην ἔχετε μετ᾽ ἀλλήλων καὶ μὴ ἀπ᾽ ἀλλήλων
peace have with one-another and not from one-another
εἰς ὁδὸν χωρίζεσθε.” εἰπόντος δὲ τοῖς σὺν αὐτῷ
on (the)-road be-separated (him)-having-said and to-the with him
ἀδελφοῖς, τίς ἂν ἑκὼν βούλοιτο ἐξ αὐτῶν συμπροπέμψαι
brothers who — willingly would-wish of them to-escort
ἡμᾶς ἄχρι τῶν ἄλλων πατέρων, σχεδὸν ἅπαντες
us as-far-as the other fathers almost all
παρεκάλουν προθύμως συμπροπέμψαι ἡμᾶς. ὁ δὲ ἅγιος
begged eagerly to-escort us the but holy
Ἀπολλῶς τρεῖς ἐπιλεξάμενος ἄνδρας ἱκανοὺς ἐν λόγῳ καὶ
Apollo three having-chosen men capable in word and
πολιτείᾳ καὶ ἐμπείρους ὄντας τῆς Ἑλληνικῆς διαλέκτου καὶ
way-of-life and skilled being in-the Greek language and
Ῥωμαικῆς καὶ Αἰγυπτιακῆς καὶ συμπροπέμπων ἡμῖν αὐτοὺς
Latin and Egyptian and sending-with us them
ἐνετέλλετο, μὴ πρότερον ἀφιέναι ἡμᾶς, πρὶν ἂν ἱκανῶς
he-charged(-them) not sooner to-let-go us before — enough
ἔχοιμεν τοὺς πατέρας θεωρήσαντες, οὓς ἐὰν βούληταί
we-should-have the fathers having-beheld whom if wishes
τις ἰδεῖν ἅπαντας, οὐκ ἂν φθάνοι διὰ παντὸς τοῦ
anyone to-see all not — he-would-manage through all the
βίου ὅλους θεάσασθαι. εὐλογήσας οὖν ἡμᾶς ἐξαπέστειλε
life whole to-behold having-blessed so us he-sent-off
λέγων· “εὐλογήσαι ὑμᾶς κύριος ἐκ Σιὼν καὶ ἴδοιτε τὰ
saying may-bless you (the)-Lord out-of Zion and may-you-see the
ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.”
good(-things) of-Jerusalem all the days of-the life your

Guided by Apollo's monks, the travelers come on a serpent's trail they are afraid to follow and are told of Amoun, whose serpents guarded his door against robbers and who killed a great serpent by prayer. Copres, a presbyter of nearly ninety, tells them of Patermuthius, a robber who became the first monk of the region, learned the scriptures by grace, raised the dead, held back the sun, and brought a fig from paradise; and he tells how his own prayer made a barren country fruitful with desert sand and how he walked through fire to confound a Manichee.

Πορευομένων δὲ ἡμῶν κατὰ τὴν ἔρημον ἐν μεσημβρίᾳ 9
traveling and we through the desert at midday
ἐξαίφνης ὁρῶμεν σῦρμα μεγάλου δράκοντος, οἷά τε δοκοῦ
suddenly we-see (the)-trail of-(a)-great serpent as — of-(a)-beam
διὰ τῆς ψάμμου ἑλκυσθείσης· καὶ ἰδόντες φόβῳ πολλῷ
through the sand having-been-dragged and having-seen with-fear much
συνεσχέθημεν. οἱ δὲ ὁδηγοῦντες ἡμᾶς ἀδελφοὶ παρεκάλουν,
we-were-seized the but guiding us brothers urged
μὴ δεδιέναι, ἀλλὰ μᾶλλον θαρρεῖν καὶ ἕπεσθαι τῷ ἴχνει τοῦ
not to-fear but rather to-take-heart and to-follow the track of-the
δράκοντος. "ὄψεσθε γάρ, φησί, τὴν πίστιν ἡμῶν μελλόντων
serpent you-will-see for he-says the faith our being-about
αὐτὸν χειροῦσθαι. πολλοὺς γάρ, φησί, καὶ δράκοντας καὶ
it to-subdue many for he-says both serpents and
ἀσπίδας καὶ κεράστας ἐκ χειρὸς ἀνῃρήκαμεν καὶ τὸ
asps and horned-vipers by hand we-have-killed and the(-thing)
γεγραμμένον ἐπ' αὐτοῖς ἐπληροῦτο· δέδωκα ὑμῖν ἐξουσίαν
written in them was-fulfilled I-have-given you authority
τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν
the to-tread upon snakes and scorpions and over all
τὴν δύναμιν τοῦ ἐχθροῦ." ἡμεῖς οὖν ἀπιστίᾳ φερόμενοι καὶ
the power of-the enemy we so by-unbelief borne and

ἔμφοβοι μᾶλλον γενόμενοι, μὴ κατ᾽ ἴχνος τοῦ δράκοντος
afraid rather having-become not on (the)-track of-the serpent
ἠξιοῦμεν αὐτούς, ἀλλὰ τὴν εὐθεῖαν βαδίζειν. εἷς δὲ ἐξ
asked them but the straight(-way) to-walk one but of
αὐτῶν ἀδελφὸς ἀπὸ πολλῆς προθυμίας καταλιπὼν ἡμᾶς
them brother from much eagerness having-left us
ἐπὶ τοῦ τόπου ἐπὶ τὴν ἔρημον ὥρμησεν ἀνιχνεύων τὸ
at the place into the desert rushed tracking the
θηρίον. καὶ εὑρὼν οὐκ εἰς μακρὰν τὸν φωλεὸν φωνῇ
beast and having-found not at far the den with-(a)-voice
ἐβόα ἡμῖν, ἐν τῷ σπηλαίῳ εἶναι τὸν δράκοντα καὶ ἐκάλει
cried to-us in the cave to-be the serpent and called
πρὸς αὐτόν, ὄψεσθαι τὸ ἐκβησόμενον, προτρεπομένων
to him to-see the(-thing) going-to-result urging
ἡμᾶς καὶ τῶν ἄλλων ἀδελφῶν μὴ δεδιέναι.
us also the other brothers not to-fear
ὡς δὲ ἡμεῖς μετὰ πολλοῦ φόβου ἀπῄειμεν ὀψόμενοι τὸ
when and we with much fear went going-to-see the
θηρίον, συναντήσας ἡμῖν ἐξαίφνης εἷς ἀδελφὸς ἐκ χειρὸς
beast having-met us suddenly one brother by (the)-hand
εἵλκεν εἰς τὸ ἑαυτοῦ μοναστήριον, φάσκων μὴ δυνατοὺς
drew(-us) into the his-own monastery declaring not able
εἶναι ἡμᾶς ὑπενεγκεῖν τὴν ὁρμὴν τοῦ θηρίου, καὶ μάλιστα
to-be us to-endure the onset of-the beast and especially
ὅτι οὐδέποτε ἦμεν τοιοῦτόν τι ἑωρακότες. πολλάκις
because never we-were such anything having-seen often
γὰρ ἔλεγεν αὐτὸν ἑωρακέναι τὸ θηρίον ὑπερμέγεθες
for he-said himself to-have-seen the beast huge
ὑπάρχον καὶ ὑπὲρ δεκαπέντε πήχεις ἔχον. μένειν οὖν
being and over fifteen cubits having to-stay so
ἡμᾶς κελεύσας ἐπὶ τοῦ τόπου ἀπῄει πρὸς τὸν ἀδελφὸν
us having-bidden at the place he-went to the brother

πείθων μεταστῆναι τοῦ φωλεοῦ. ἐπειρᾶτο γὰρ
persuading(-him) to-move from-the den tried for
ἐκεῖνος, μὴ μεταστῆναι τοῦ τόπου, πρὶν ἂν ἕλῃ τὸν
he not to-move from-the place before — he-take the
δράκοντα. καὶ δὴ πείσας αὐτὸν ἄγει πρὸς ἡμᾶς τὴν
serpent and indeed having-persuaded him he-brings to us the
ὀλιγοπιστίαν ἡμῶν μεμψάμενον. Ἀναπαυσάμενοι δὲ πρὸς
little-faith our having-blamed having-rested and with
ἐκεῖνον τὸν ἀδελφὸν ὡς ἀπὸ ἑνὸς μιλίου τὸ μοναστήριον
that the brother as at one mile the monastery
ἔχοντα ἱκανῶς ἀνεκτησάμεθα. διηγεῖτο δὲ ἡμῖν ἐκεῖνος,
having enough we-refreshed-ourselves related and to-us he
γεγενῆσθαι κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα περ αὐτὸς
to-have-been in that the place where indeed he
ἐκαθέζετο, ἄνδρα ἅγιον, ᾧ αὐτὸς ἐμαθήτευσεν, Ἀμμοῦν
sat (a)-man holy to-whom he was-disciple Amoun
ὀνόματι, πλείστας δυνάμεις ἐν ἐκείνῳ τῷ τόπῳ ποιήσαντα.
by-name very-many powers in that the place having-done
πρὸς ὃν πολλάκις ἐλθόντες οἱ λωποδύται τοὺς ἄρτους
to whom often having-come the thieves the loaves
καὶ τὰς τροφὰς αὐτοῦ ἐλάμβανον. ἐξελθὼν δὲ μιᾷ τῶν
and the foods his took having-gone-out and (on)-one of-the
ἡμερῶν εἰς τὴν ἔρημον δύο δράκοντας μεγάλους σὺν αὐτῷ
days into the desert two serpents great with himself
προσηγάγετο κελεύσας αὐτοῖς παραμένειν τῷ τόπῳ καὶ
brought having-bidden them to-stay-by the place and
φυλάσσειν τὴν θύραν· οἱ δὲ ἀνδροφόνοι ἐλθόντες κατὰ
to-guard the door the and murderers having-come according-to
τὸ ἔθος καὶ θεασάμενοι τὸ θαῦμα ἀχανεῖς γενόμενοι ὑπ'
the custom and having-beheld the wonder speechless having-become from
ἐκπλήξεως ἔπεσαν ἐπὶ πρόσωπον. ἐξελθὼν δὲ εἶδεν αὐτοὺς
astonishment fell on (their)-face having-come-out and he-saw them

ἐνεοὺς γενομένους καὶ σχεδὸν ἡμιθανεῖς, καὶ ἀναστήσας
dumb having-become and almost half-dead and having-raised
αὐτοὺς ὠνείδιζεν λέγων· "ὁρᾶτε, πόσον ὑμεῖς ἀγριώτεροι
them he-reproached saying see how-much you more-savage
τῶν θηρίων ἐστέ. οἱ μὲν γὰρ ἡμῶν διὰ τὸν θεὸν τοῖς
than-the beasts are they indeed for our on-account-of — God the
βουλήμασι πείθονται· ὑμεῖς δὲ οὐδὲ τὸν θεὸν ἐφοβήθητε,
wishes obey you but not-even — God feared
οὐδὲ τῶν Χριστιανῶν τὴν εὐλάβειαν ἐδυσωπήθητε."
nor of-the Christians the piety respected
εἰσαγαγὼν δὲ αὐτοὺς ἐν τῷ κελλίῳ παρέθηκε τράπεζαν
having-led-in and them into the cell he-set-before(-them) (a)-table
καὶ ἐνουθέτει μεταβαλεῖν τὸν τρόπον. οἱ δὲ παρ' αὐτὰ
and admonished to-change the manner they and on the-spot
μεταστάντες κρείττους πολλῶν ἀνεφάνησαν. μετ' οὐ πολὺ
having-changed better than-many appeared after not long
δὲ καὶ αὐτοὶ τὰ αὐτὰ σημεῖα ἐπιτελοῦντες ὤφθησαν.
and also themselves the same signs performing were-seen
Ἄλλοτε δέ, φησίν, ἑνὸς μεγάλου δράκοντος τὴν πλησίον
another-time and he-says one great serpent the nearby
χώραν λυμαινομένου καὶ τὰ πολλὰ τῶν ζώων ἀναιροῦντος
country ravaging and the many of-the animals killing
ἦλθον οἱ προσοικοῦντες τὴν ἔρημον πάντες ὁμοῦ πρὸς
came those dwelling-near the desert all together to
τὸν πατέρα δεόμενοι ἀφανισθῆναι ἐκ τῆς χώρας αὐτῶν
the father begging to-be-removed from the country their
τὸ θηρίον. ὁ δέ, ὡς μηδὲν δυνάμενος αὐτοὺς ὠφελεῖν,
the beast he and as nothing able them to-help
λυπουμένους τοὺς ἄνδρας ἀπέπεμψεν. ἔωθεν δὲ ἀναστὰς
grieving the men sent-away at-dawn but having-risen
ἐπὶ τὴν δίοδον τοῦ θηρίου ἀπήρχετο. ὡς δὲ ἔκλινε τὰ
to the passage of-the beast he-went-off when and he-bent the

γόνατα εἰς προσευχὴν ἐπὶ τρίτον, ἤρχετο πρὸς αὐτὸν
knees in prayer for (the)-third(-time) came to him
τὸ θηρίον ῥοιζήματι μεγάλῳ ἆσθμα δεινὸν προπέμπον
the beast with-rushing great breath terrible sending-forth
καὶ φυσῶν καὶ συρίζον καὶ πνοὴν πονηρὰν ἀποπέμπον. ὁ
and blowing and hissing and breath foul sending-out he
δὲ οὐδὲν φοβηθεὶς ἐπιστραφεὶς πρὸς τὸν δράκοντα εἶπε·
but not-at-all having-feared having-turned to the serpent said
"χειρώσηταί σε Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος
may-subdue you Christ the son — of-God the living
ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι." καὶ τοῦτο
the(-one) being-about the great sea-monster to-subdue and this
εἰπόντος εὐθὺς ὁ δράκων ἐρράγη πάντα τὸν ἰὸν μετὰ
(him)-having-said at-once the serpent burst all the poison with
τοῦ αἵματος διὰ τοῦ στόματος ἐξεμέσας. ἐλθόντες δὲ οἱ
the blood through the mouth having-vomited having-come and the
ἄγροικοι μεθ' ἡμέρας καὶ τὸ μέγα θαῦμα ἐκεῖνο θεασάμενοι
rustics after days and the great wonder that having-beheld
καὶ τὴν πνοὴν μὴ φέροντες, ἄμμον πολλὴν ἐπὶ τὸ ζῶον
and the stench not bearing sand much on the creature
ἐσώρευσαν παρεστῶτος αὐτοῖς ἐκεῖ τοῦ πατρός. οὐ γὰρ
heaped standing-by them there the father not for
ἐτόλμων προσιέναι καίτοι νεκροῦ ὄντος τοῦ δράκοντος.
they-dared to-approach although dead being the serpent
Παῖς δέ, φησί, ποτε ποιμαίνων ἀθρόως ἔτι ζῶντα τὸν
(a)-boy and he-says once shepherding suddenly still living the
δράκοντα θεασάμενος ἐν ἐκστάσει γενόμενος ἐλιποψύχησεν.
serpent having-beheld in shock having-become fainted
ἔκειτο οὖν ἄπνους ὁ παῖς ἐν τῷ χωρίῳ παρὰ τὴν
lay so breathless the boy in the place beside the
ἔρημον πᾶσαν ἡμέραν. εὑρόντες δὲ αὐτὸν πρὸς ἑσπέραν
desert all day having-found and him toward evening

οἱ ἴδιοι μικρὸν ἐμπνέοντα πεφυσημένον ὅλον ἐκ τῆς
the own(-people) little breathing swollen whole from the
ἐκστάσεως ἄγουσι πρὸς τὸν πατέρα ἀγνοοῦντες τὴν
shock bring(-him) to the father not-knowing the
αἰτίαν τοῦ συμβάντος αὐτῷ. εὐξαμένου δὲ αὐτοῦ
cause of-the(-thing) having-befallen him having-prayed and he
καὶ ἐλαίῳ αὐτὸν χρίσαντος ἀνέστη ὁ παῖς διηγούμενος
and with-oil him having-anointed rose the boy relating
τὸ ὁραθέν. ὅθεν μάλιστα κινηθεὶς ὁ ἀνὴρ πρὸς τὴν
the(-thing) seen whence especially moved the man to the
ἀναίρεσιν ἐτράπη τοῦ δράκοντος.
destruction turned of-the serpent

10 Ἦν δέ τις πρεσβύτερος ἔχων πλησίον ἐκεῖ
there-was and a-certain presbyter having near there
μοναστήριον ἐν τῇ ἐρήμῳ, Κόπρης λεγόμενος, ἀνὴρ ἅγιος
(a)-monastery in the desert Copres called (a)-man holy
ἐτῶν σχεδὸν ἐνενήκοντα, ἡγούμενος ἀδελφῶν πεντήκοντα.
of-years almost ninety leading brothers fifty
ὃς καὶ αὐτὸς πλείστας δυνάμεις ἐποίει θεραπεύων τὰς
who also himself very-many powers did healing the
νόσους καὶ ἰάσεις ἐπιτελῶν καὶ δαίμονας ἀπελαύνων καὶ
diseases and cures performing and demons driving-out and
πολλὰ θαύματα διαπραττόμενος, τινὰ μὲν καὶ ἐν ὄψεσιν
many wonders accomplishing some indeed even in sight
ἡμετέραις. ὡς γοῦν ἡμᾶς ἐθεάσατο, ἠσπάσατο καὶ
our when at-any-rate us he-beheld he-greeted(-us) and
ὑπερηύξατο καὶ τοὺς πόδας ἡμῶν νίψας ἠρώτα ἡμᾶς
prayed-over(-us) and the feet our having-washed asked us
τὰ ἐν τῷ κόσμῳ πραττόμενα. ἡμεῖς δὲ ἠξιοῦμεν αὐτὸν
the(-things) in the world being-done we but asked him
μᾶλλον ἡμῖν τῆς οἰκείας πολιτείας τὰς ἀρετὰς ὑφηγήσασθαι,
rather to-us of-the own way-of-life the virtues to-relate

καὶ ὅπως αὐτῷ ὁ θεὸς τὰ χαρίσματα ἐχαρίσατο καὶ ἐκ
and how to-him — God the gifts granted and from
ποίας μεθόδου ταύτης ἔτυχε τῆς χάριτος. ὁ δὲ μηδὲν
what method this he-obtained the grace he and nothing
ὑπερήφανον λογισάμενος ὑφηγεῖτο ἡμῖν τόν τε ἑαυτοῦ
proud having-reckoned related to-us the both his-own
βίον καὶ τῶν αὐτοῦ προγενεστέρων μεγάλων καὶ πολλῷ
life and of-the his predecessors great and much
μειζόνων αὐτοῦ γεγονότων ὢν αὐτὸς τὴν πολιτείαν
greater than-himself having-been whose he the way-of-life
ἐμιμήσατο. "οὐδὲν γάρ, φησί, θαυμαστόν, ὦ τέκνα, τὸ
imitated nothing for he-says wonderful O children the
ἐμὸν ἔργον πρὸς τὸ τῶν πατέρων ἡμῶν πολίτευμα".
my work compared-to the of-the fathers our conduct
Ἦν γάρ τις πατὴρ πρὸ ἡμῶν, ὀνόματι Πατερμούθιος, 11
there-was for a-certain father before us by-name Patermuthius
πρῶτος τῶν ἐν τῷ τόπῳ τούτῳ μοναχῶν αὐτὸς γενόμενος
first of-the in the place this monks himself having-been
καὶ τὸ μοναχικὸν ἔνδυμα τοῦτο πρῶτος ἐφευρών. οὗτος
and the monastic habit this first having-devised he
ἀρχιληστὴς πρῶτον καὶ νεκροτάφος Ἑλλήνων ὑπάρχων καὶ
(a)-robber-chief at-first and grave-robber of-pagans being and
διαβόητος ἐπὶ κακίᾳ γενόμενος πρόφασιν ηὕρατο σωτηρίας
notorious for wickedness having-become (an)-occasion found of-salvation
τοιαύτην. ἐπέστη γάρ ποτε νυκτός τινι παρθενευούσῃ
such he-came for once by-night on-a-certain (woman)-living-as-virgin
συλῆσαι τὸ μοναστήριον αὐτῆς προθυμηθείς. ηὑρέθη δὲ
to-rob the dwelling her having-been-eager he-was-found and
μηχανῇ τινι ἐπὶ τὰ δώματα· μὴ εὑρὼν δὲ ποίας ὁδοῦ
by-device some on the roofs not having-found and by-what way
εἰσέλθῃ εἰς τὸ ταμεῖον ἢ πάλιν ποίας ὑποχωρήσῃ, ἔμεινε
he-might-enter into the storeroom or again by-what he-might-withdraw he-remained

λογιζόμενος ἐπὶ τοῦ δώματος ἄχρις ἡμέρας. μικρὸν δὲ
reckoning on the roof until day (a)-little and
ἀφυπνώσας ὁρᾷ ὥσπερ βασιλέα τινα λέγοντα αὐτῷ κατὰ
having-dozed he-sees as-it-were king a-certain saying to-him in
τοὺς ὕπνους· "μὴ περὶ τοὺς φόνους ἔτι καὶ τῶν μιαρῶν
the sleeps not about the murders still and of-the foul
τούτων κλεμμάτων σπουδὴν ἔχων ἐπαγρύπνει. ἀλλ' εἰ βούλῃ
these thefts zeal having keep-watch but if you-wish
μεταβαλεῖν τὸν τρόπον ἐπ' ἀρετὴν καὶ ἀγγελικὴν στρατηγίαν
to-change the manner to virtue and angelic command
ἐπαναλαβεῖν, παρ' ἐμοῦ λήψῃ ταύτην τὴν ἐξουσίαν."
to-take-up from me you-will-receive this the authority
ὁ δὲ ὡς ἀσμένως ὑπεδέξατο, τάγμα ὑποδείκνυσιν αὐτῷ
he and when gladly accepted (a)-company he-shows him
μοναχῶν καὶ ἄρχειν αὐτῶν παρεκελεύετο.
of-monks and to-command them he-bade
ἔξυπνος δὲ γενόμενος ὁ ἀνὴρ ὁρᾷ τὴν παρθένον αὐτῷ
awake and having-become the man sees the virgin by-him
παρεστῶσαν καὶ λέγουσαν· "πόθεν σὺ παραγέγονας ὧδε, ὦ
standing and saying whence you have-come here O
ἄνθρωπε, ἢ τίς ὑπάρχεις τὴν τύχην;" ὁ δὲ μηδὲν εἰδέναι
man or who are-you by-the fortune he and nothing to-know
φήσας αὐτῇ τὴν ἐκκλησίαν ἐπιδείκνυσθαι αὐτῷ παρεκάλει.
having-said to-her the church to-show to-him begged
καὶ δὴ ὡς ἐπέδειξεν, προσπεσὼν τοῖς τῶν πρεσβυτέρων
and indeed when she-showed(-it) having-fallen-before the of-the presbyters
ποσὶν ἠξίου Χριστιανὸς γενέσθαι καὶ μετανοίας χώραν
feet he-asked (a)-Christian to-become and of-repentance room
εὑρεῖν. ἐπιγνόντες δὲ αὐτὸν οἱ πρεσβύτεροι ἐθαύμασαν
to-find having-recognized and him the presbyters wondered
καὶ ἐνουθέτουν λοιπὸν καὶ ἐδίδασκον τοῦ μηκέτι εἶναι
and admonished then and taught the no-longer to-be

ἀνδροφόνον. ἠξίου δὲ αὐτοὺς τῶν ψαλμῶν ἐπακούειν καὶ
(a)-murderer he-asked and them the psalms to-hear and
τριῶν στίχων ἐπακούσας μόνον τοῦ πρώτου ψαλμοῦ ἀρκεῖν
three verses having-heard only of-the first psalm to-suffice
ἑαυτῷ τέως ταῦτα ἔφη πρὸς μάθησιν. καὶ ἐπιμείνας
for-himself for-now these he-said for learning and having-stayed
πρὸς αὐτοὺς τρεῖς ἡμέρας ἐξελθὼν εὐθὺς ἐπὶ τὴν ἔρημον
with them three days having-gone-out at-once to the desert
ὥρμησεν. καὶ τριετῆ διάγων χρόνον κατὰ τὴν ἔρημον ἐν
rushed and three-year spending time in the desert in
εὐχαῖς καὶ δάκρυσι διημερεύων πρὸς τροφὴν ταῖς ἀγρίαις
prayers and tears passing-the-days for food with-the wild
βοτάναις ἠρκεῖτο. ἐπανῆλθε δὲ εἰς τὴν ἐκκλησίαν ἔμπρακτον
herbs he-was-content he-returned and to the church in-practice
ἀπαγγέλλων τὸ μάθημα. χάριν δὲ αὐτῷ δεδόσθαι θεόθεν
reporting the lesson grace and to-himself to-have-been-given from-God
ἔλεγεν ἀποστηθίζειν ἔξωθεν τὰς γραφάς. ἐθαύμαζον δὲ αὐτὸν
he-said to-recite by-heart the scriptures wondered and him
πάλιν οἱ πρεσβύτεροι ἀκροτάτην μετελθόντα τὴν ἄσκησιν
again the presbyters most-extreme having-pursued the discipline
καὶ φωτίσαντες αὐτὸν παρεκάλουν συνδιατρίβειν αὐτοῖς.
and having-baptized him begged to-stay-with them
ὁ δὲ ἐπιμείνας πρὸς αὐτοὺς ἑπτὰ ἡμέρας ἐπὶ τὴν
he but having-stayed with them seven days to the
ἔρημον πάλιν ἐξῄει, καὶ δὲ ἐν ἑπτὰ ἔτεσιν ἄλλοις ἐν τῇ
desert again went-out and too in seven years other in the
πανερήμῳ διατελέσας πολλῆς χάριτος ὁ ἀνὴρ ἠξιώθη.
utter-desert having-continued of-much grace the man was-deemed-worthy
ἄρτος μὲν γὰρ αὐτῷ τῇ κυριακῇ μόνῃ πρὸς κεφαλὴν
bread indeed for to-him on-the Lord's-day only at (his)-head
ηὑρίσκετο εὐξαμένῳ· οὗ μεταλαμβάνων ἕως τῆς ἄλλης
was-found having-prayed which partaking until the next

κυριακῆς ἠρκεῖτο. Ἐπανῆλθε δὲ πάλιν ἐκ τῆς ἐρήμου
Lord's-day he-was-content he-returned and again from the desert
τὴν ἄσκησιν ἐνδεικνύμενος καί τινας πρὸς τὴν αὐτοῦ
the discipline displaying and some to the his
πολιτείαν ἐλθεῖν ἐρεθίζων. προσῆλθε δὲ αὐτῷ τις
way-of-life to-come provoking came and to-him a-certain
νεανίας μαθητευθῆναι βουλόμενος. ὁ δὲ εὐθὺς ἐνδύσας
young-man to-be-discipled wishing he and at-once having-dressed
αὐτὸν λευιτῶνα καὶ κουκούλλιον αὐτοῦ τῇ κεφαλῇ
him (in-a)-sleeveless-tunic and (a)-hood his on-the head
περιθεὶς ἐπὶ τὴν ἄσκησιν προσεβίβαζεν τὴν μηλωτὴν
having-put to the discipline brought(-him) the sheepskin
περὶ τοὺς ὤμους αὐτοῦ περιθέμενος καὶ λέντιον αὐτὸν
about the shoulders his having-put and (a)-linen-cloth him
περιζωσάμενος. καὶ δὴ εἴ πού τις τῶν Χριστιανῶν
having-girded and indeed if somewhere anyone of-the Christians
ἐτελεύτα προσκαρτερῶν αὐτῷ ταῖς ἀγρυπνίαις καθαρίως
died persevering for-him in-the vigils cleanly
ἐκήδευεν. ἰδὼν δὲ αὐτὸν ὁ μαθητὴς θαυμασίως τοὺς
he-buried(-him) having-seen and him the disciple wonderfully the
τεθνεῶτας κηδεύοντα εἶπε πρὸς αὐτόν· "εἰ κἀμὲ θανόντα
dead burying said to him whether me-too having-died
οὕτως κηδεύσεις, διδάσκαλε;" ὁ δὲ πρὸς αὐτὸν ἔφη·
thus you-will-bury teacher he and to him said
"οὕτω κηδεύσω σε, ἄχρις ἂν εἴπῃς· »ἀρκεῖ«".
so I-will-bury you until — you-say enough
μετ᾽ οὐ πολὺ δὲ τοῦ χρόνου τέθνηκεν ὁ νεανίας καὶ ὁ
after not much and the time died the young-man and the
λόγος ἔργον ἐγένετο. κηδεύσας γὰρ αὐτὸν εὐσεβῶς λέγει
word deed became having-buried for him piously he-says
πρὸς αὐτὸν ἐπὶ πάντων· "καλῶς ἐκηδεύθης, ὦ τέκνον, ἢ ἔτι
to him before all well were-you-buried O child or still

μικρὸν λείπεται;" φωνὴν δὲ ἀφῆκεν ὁ νεανίας εἰς ἐπήκοον
little is-lacking (a)-voice and let-out the young-man in hearing
πολλῶν· "ἔχει καλῶς, ὦ πάτερ· τὴν ἐπαγγελίαν ἐπλήρωσας."
of-many it-is well O father the promise you-have-fulfilled
θαῦμα δὲ τοὺς παρόντας ἔσχεν ἐξαίσιον καὶ ἐδόξαζον ἐπ'
wonder and those present held extraordinary and they-glorified over
αὐτῷ τὸν θεόν. ὁ δὲ ἐπὶ τὴν ἔρημον εὐθὺς ἀνεχώρει τὴν
it — God he but to the desert at-once withdrew the
εὐδοξίαν ἐκκλίνων. Καὶ δή ποτε ἐκ τῆς ἐρήμου κατῄει
renown avoiding and indeed once from the desert he-came-down
εἰς ἐπίσκεψιν ἀδελφῶν τῶν παρ' αὐτοῦ μαθητευθέντων
for (a)-visit of-brothers those by him discipled
νόσῳ κατειλημμένων. καὶ μέλλοντος τοῦ ἑνὸς αὐτῶν
by-sickness seized and being-about the one of-them
τελευτᾶν, τοῦτο τοῦ θεοῦ αὐτῷ ἀποκαλύψαντος — ἡ
to-die this — God to-him having-revealed the
ἑσπέρα δὲ ἤδη προσῆγε καὶ ἡ κώμη πόρρω ἐτύγχανε —
evening and already drew-on and the village far happened-to-be
μὴ βουλομένου δὲ αὐτοῦ νυκτὸς εἰσελθεῖν εἰς τὴν κώμην,
not wishing and he by-night to-enter into the village
τὴν ἀκαιρίαν ἐκκλίνοντος καὶ τὸ σωτήριον ἐπάγγελμα
the untimeliness avoiding and the saving promise
μελετῶντος· περιπατεῖτε ἕως τὸ φῶς ἐν ὑμῖν ἔχετε, καὶ ὁ
pondering walk while the light in you you-have and he
πορευόμενος ἐν τῷ φωτὶ οὐ μὴ προσκόψῃ, δύνοντος οὖν
walking in the light not — will-stumble setting so
λοιπὸν τοῦ ἡλίου φωνὴν ἐφθέγξατο πρὸς αὐτὸν λέγων·
now the sun (a)-voice he-uttered to it saying
"ἐν ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, στῆθι μικρὸν ἐπ'
in (the)-name of-the Lord Jesus Christ stand (a)-little at
αὐτῷ τῆς ὁδοῦ σου, ἄχρις ἂν εἰς τὴν κώμην ἀφίκωμαι."
itself of-the way your until — into the village I-arrive

ὁ δὲ ὡς ἡμικύκλιον δυόμενος περιέστη καὶ οὐ πρὶν ἔδυ,
it and as (a)-half-circle setting stood-still and not before it-set
ἄχρις ἐκεῖνος ἦκε πρὸς τὸ χωρίον, ὡς φανερὸν τοῦτο τοῖς
until he came to the village so-that plain this to-the
ἐγχωρίοις γενέσθαι. οἳ πρὸς τὴν τοῦ ἡλίου θέαν συνδρομὴν
inhabitants to-become who for the of-the sun sight (a)-concourse
ποιησάμενοι ἐθαύμαζον ἐπὶ πολλαῖς ὥραις θεωροῦντες
having-made wondered for many hours beholding
αὐτὸν μὴ δυόμενον. ἰδόντες δὲ τὸν Πατερμούθιον ἐκ τῆς
it not setting having-seen and — Patermuthius from the
ἐρήμου ἐρχόμενον ἐπυνθάνοντο παρ᾽ αὐτοῦ, τί τὸ σημεῖον
desert coming they-inquired from him what the sign
τοῦτο ἄρα εἴη τὸ τοῦ ἡλίου. ὁ δὲ φησὶ πρὸς αὐτούς·
this then might-be the(-one) of-the sun he and says to them
"οὐ μὴ μέμνησθε τὴν τοῦ σωτῆρος φωνὴν λέγουσαν· ἐὰν
not — remember the of-the savior voice saying if
ἔχητε πίστιν ὡς κόκκον σινάπεως καὶ μείζονα τούτων
you-have faith as (a)-grain of-mustard even greater than-these
σημεῖα ποιήσητε;" τοὺς δὲ εὐθὺς εἰσῆλθε φόβος. παρέμειναν
signs you-will-do them and at-once entered fear remained
δὲ αὐτῷ τινες ἐξ αὐτῶν μαθητεύοντες. Εἰσελθὼν δὲ
and with-him some of them being-disciples having-entered and
εἰς τὴν οἰκίαν ἑνὸς τῶν ἀδελφῶν τῶν νοσούντων καὶ
into the house of-one of-the brothers the(-ones) sick and
εὑρὼν αὐτὸν ἤδη θανόντα, προσελθὼν τῇ κλίνῃ καὶ
having-found him already dead having-approached the bed and
προσευξάμενος καὶ καταφιλήσας αὐτὸν ἠρώτα, εἰ πρὸς
having-prayed and having-kissed him he-asked whether to
θεὸν βούλοιτο ἀπιέναι μᾶλλον ἢ ἔτι ζῆν ἐν σαρκί.
God he-wished to-depart rather than still to-live in flesh

ὁ δὲ ἀνακαθίσας εἶπεν αὐτῷ· "κρεῖσσον τὸ ἀναλῦσαι καὶ
he and having-sat-up said to-him better the to-depart and
σὺν Χριστῷ εἶναι. τὸ δὲ ζῆν ἐν σαρκὶ οὐκ ἀναγκαῖον ἐμοί."
with Christ to-be the but to-live in flesh not necessary for-me
"οὐκοῦν κάθευδε, φησίν, ἐν εἰρήνῃ, ὦ τέκνον, πρεσβεύων
then sleep he-says in peace O child interceding
ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν." ὁ δὲ ὡς εἶχεν εὐθὺς ἀναπεσὼν
for me with — God he and as he-was at-once having-lain-back
ἐκοιμήθη. οἱ δὲ παρόντες πάντες ἐξεπλάγησαν λέγοντες·
fell-asleep those and present all were-amazed saying
"ἀληθῶς θεοῦ ἄνθρωπος ἐστὶν οὗτος." κηδεύσας δὲ αὐτὸν
truly of-God (a)-man is this(-one) having-buried and him
καθαρίως ἐν ὕμνοις πᾶσαν τὴν νύκτα διετέλεσεν. Ἕτερον
cleanly in hymns all the night he-continued another
δὲ κάμνοντα ἀδελφὸν ἐπισκεψάμενος, ὡς εἶδεν αὐτὸν
and sick brother having-visited when he-saw him
δυσφοροῦντα πρὸς τὴν τελευτὴν δεινῶς ὑπὸ τῆς συνειδήσεως
distressed at the end terribly by the conscience
ἐλεγχόμενον, ἔλεγεν πρὸς αὐτόν· "ὡς ἀνέτοιμος ὑπάγεις πρὸς
being-convicted he-said to him how unready you-go to
τὸν θεὸν κατηγόρους φέρων τοὺς λογισμοὺς τῆς ῥαθύμου
— God (as)-accusers bringing the thoughts of-the slothful
σου πολιτείας." ὁ δὲ ἐδέετο αὐτοῦ καὶ ἱκέτευε πρεσβεύειν
your way-of-life he and begged him and besought to-intercede
ὑπὲρ αὑτοῦ πρὸς τὸν θεόν, χρόνον ἐνδοῦναι αὐτῷ μικρὸν
for himself with — God time to-grant to-himself little
τῇ ζωῇ μέλλων ἐπανορθοῦσθαι. ὁ δὲ φησὶ πρὸς αὐτόν· "νῦν
to-the life being-about to-amend he and says to him now
καιρὸν μετανοίας ζητεῖς, ὅτε ἡ ζωή σου πεπλήρωται· τί
(a)-time of-repentance you-seek when the life your has-been-completed what
ἐποίεις πάντα τὸν χρόνον; οὐκ ἐδύνω τὰ σὰ τραύματα
were-you-doing all the time not could-you the your wounds

θεραπεῦσαι, ἀλλὰ καὶ ἕτερα προσετίθης;" ὁ δὲ ὡς
to-heal but even other(-ones) you-were-adding he and when
ἐπέμενεν αὐτὸν ἱκετεύων, ἀπεκρίνατο· "εἰ μὴ ἕτερα τῇ
persisted him beseeching he-answered if not other(-things) to-the
ζωῇ προσθήσεις κακά, εἰ κατ' ἀλήθειαν μετανοεῖς, δεόμεθα
life you-will-add evils if in truth you-repent we-beg
ὑπέρ σου τοῦ θεοῦ· ἀγαθὸς γὰρ ἐστὶ καὶ μακρόθυμος, καὶ
for you — of-God good for he-is and long-suffering and
χαρίσεταί σοι ἔτι μικρὰν ζωήν, ἵνα τὸ πᾶν ἀποδώσῃς."
will-grant to-you still (a)-little life that the whole you-repay
καὶ εὐξάμενος εἶπεν αὐτῷ· "ἰδοὺ τρία ἔτη σοι κεχάρισται
and having-prayed he-said to-him behold three years to-you has-granted
ὁ θεὸς ἐν τῇ ζωῇ ταύτῃ. μόνον ἐκ ψυχῆς μετανόησον."
— God in the life this only from (the)-soul repent
καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀνέστησε παραχρῆμα καὶ
and having-taken his the hand he-raised(-him) at-once and
ἀπήγαγεν αὐτὸν εἰς τὴν ἔρημον. καὶ πληρωθέντων ἐτῶν
led-off him into the desert and having-been-completed years
τριῶν πάλιν ἤγαγεν ἐπὶ τὸν τόπον οὐκ ἄνθρωπον, ἀλλ'
three again he-led(-him) to the place not (a)-man but
ἄγγελον τῷ θεῷ παριστῶν, ὡς θαυμάσαι πάντας ἐπὶ τῇ
(an)-angel — to-God presenting so-that to-wonder all at the
αὐτοῦ πολιτείᾳ. καὶ συνελθόντων πρὸς αὐτὸν τῶν ἀδελφῶν
his way-of-life and having-come-together to him the brothers
τίθησιν αὐτὸν ἐν μέσῳ ὑγιῆ καὶ δι' ὅλης τῆς νυκτὸς
he-sets him in (the)-middle healthy and through whole the night
λόγον διδασκαλίας αὐτοῖς παρεδίδου. ὡς δὲ ἀπενύσταξεν ὁ
(a)-word of-teaching to-them handed-on when and dozed-off the
ἀδελφὸς καὶ δὴ εἰς ὕπνον γενόμενος παντελῶς ἐκοιμήθη.
brother and indeed into sleep having-come wholly fell-asleep
ἐπευξάμενος δὲ αὐτῷ ἐκήδευσε κατὰ τρόπον προπέμψας
having-prayed-over and him buried(-him) in due-form having-escorted

πρὸς τὴν ταφήν. Πολλάκις δὲ αὐτὸν φασὶ καὶ τῶν ποταμίων
to the burial often and him they-say also the river
ὑδάτων ἐπιβάντα τὸν Νεῖλον ἄχρι γονάτων διαπορθμεῦσαι·
waters having-stepped-on — (the)-Nile up-to (the)-knees to-have-crossed
ἄλλοτε δὲ δι' ἀέρος πρὸς τοὺς ἀδελφοὺς ἐπὶ τοῦ δώματος
another-time and through (the)-air among the brothers on the roof
εὑρῆσθαι τῶν θυρῶν κεκλεισμένων. πολλάκις δέ, ὅπουπερ
to-have-been-found the doors having-been-shut often and wherever
ἤθελε, παραχρῆμα ηὑρίσκετο. διηγεῖτο δέ ποτε τοῖς ἀδελφοῖς
he-wished at-once he-was-found related and once to-the brothers
ἐκ τῆς ἐρήμου ἐπανελθὼν ἀνειλῆφθαι αὐτὸν ἐν ὁράματι
from the desert having-returned to-have-been-taken-up himself in (a)-vision
εἰς τὸν οὐρανὸν καὶ τεθεᾶσθαι, ὅσα μένει ἀγαθὰ τοὺς
into the heaven and to-have-beheld how-many await good(-things) the
κατ' ἀλήθειαν μοναχούς, ἅπερ οὐδεὶς ἐξειπεῖν λόγος δύναται.
in truth monks which no to-tell speech can
καὶ ἀπῆχθαι δὲ αὐτὸν ἐν σαρκὶ ἔφη εἰς τὸν παράδεισον
also to-have-been-led and himself in (the)-flesh he-said into the paradise
καὶ ἑωρακέναι πλῆθος ἁγίων. μετειληφέναι δὲ αὐτὸν
and to-have-seen (a)-multitude of-saints to-have-partaken and himself
ἔλεγεν ἐκ τῶν καρπῶν τοῦ παραδείσου καὶ μάρτυρα τοῦ
he-said of the fruits of-the paradise and (a)-witness of-the
πράγματος ἐδείκνυεν· σῦκον γὰρ ἓν μέγα καὶ ἐξαίρετον
matter he-showed (a)-fig for one great and choice
καὶ εὐωδίας πολλῆς μεστὸν πρὸς τοὺς ἑαυτοῦ μαθητὰς
and of-fragrance much full to the his-own disciples
ἀπεκόμισεν ἐπιδεικνύων αὐτοῖς, ὅτι ἀληθῆ εἰσὶ τὰ παρ'
he-brought showing them that true are the(-things) by
αὐτοῦ λεγόμενα. ὅπερ σῦκον ὁ διηγούμενος ἡμῖν ταῦτα
him said which fig the(-one) relating to-us these
Κόπρης πρεσβύτερος νεανίας τότε ὑπάρχων ἐν ταῖς
Copres (the)-presbyter (a)-young-man then being in the

χερσὶ τῶν μαθητῶν αὐτοῦ ἐθεάσατο καὶ κατεφίλησε καὶ
hands of-the disciples his beheld and kissed and
τὴν πνοὴν ἐθαύμασεν. "πολλοῖς γὰρ ἔτεσι, φησίν, ἔμεινε
the fragrance wondered-at many for years he-says it-remained
παρὰ τοῖς αὐτοῦ μαθηταῖς εἰς ἐπίδειξιν φυλαττόμενον. ἦν
with the his disciples for display being-kept it-was
γὰρ παμμέγεθες. μόνον γάρ τις εἰ ὀσφρήσατο αὐτοῦ
for huge only for anyone if smelled it
τῶν κακουμένων, εὐθέως τῆς νόσου ἀπηλλάττετο." κατὰ
of-the afflicted at-once from-the sickness was-freed at
δὲ τὴν ἀρχὴν τῆς ἐν τῇ ἐρήμῳ αὐτοῦ ἀναχωρήσεως ἐπὶ
and the beginning of-the in the desert his withdrawal for
πέντε ἑβδομάδας αὐτὸν μὴ βεβρωκότα, ἄνθρωπον φασὶν
five weeks him not having-eaten (a)-man they-say
αὐτὸν εὑρηκέναι κατὰ τὴν ἔρημον ἄρτον ἐπιφερόμενον
him to-have-found in the desert bread carrying
καὶ ὕδωρ, ὃς πείσας αὐτὸν μεταλαβεῖν ἀπηλλάγη.
and water who having-persuaded him to-partake departed
ἄλλοτε δὲ τὸν δαίμονα θησαυροὺς αὐτῷ ὑποδεῖξαι τοῦ
another-time and the demon treasures to-him to-have-shown —
Φαραὼ χρυσίου καθαροῦ γέμοντας. πρὸς ὃν φησὶν ὁ
of-Pharaoh of-gold pure full to whom says the
ἀνήρ· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν.
man the silver your with you may-be into destruction
"Ταῦτά τε καὶ ἄλλα πλείονα καὶ μεγάλα, φησί,
these both and other more and great(-things) he-says
κατώρθωσεν ὁ πατὴρ ἡμῶν Πατερμούθιος ποιῶν σημεῖα
achieved the father our Patermuthius doing signs
καὶ τέρατα. καὶ ἄλλοι τοιοῦτοί τινες πρὸ ἡμῶν γεγόνασιν,
and wonders and others such some before us have-been
ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. τί δὲ θαυμαστὸν εἰ ἡμεῖς οἱ
of-whom not was worthy the world what and wonderful if we the

μικροὶ τὰ μικρὰ ταῦτα πράττομεν χωλοὺς καὶ τυφλοὺς
small the small(-things) these do lame and blind
θεραπεύοντες, ἅπερ καὶ ἐκ τέχνης οἱ ἰατροὶ ἐνεργοῦσιν;" Καὶ
healing which even by skill the physicians effect and
ὡς ἦν ἔτι ταῦτα διηγούμενος ἡμῖν Κόπρης ὁ πρεσβύτερος
as he-was still these relating to-us Copres the presbyter
ἀπονυστάξας εἷς ἐξ ἡμῶν ἀδελφὸς ἀπιστίᾳ περὶ τῶν
having-dozed one of us brother by-unbelief about the(-things)
λεγομένων φερόμενος, ὁρᾷ βίβλον θαυμαστὴν ἐν ταῖς χερσὶ
being-said borne sees (a)-book wonderful in the hands
τοῦ ἀνδρὸς ἐπικειμένην χρυσοῖς γράμμασι γεγραμμένην
of-the man lying with-golden letters written
καὶ ἐφεστῶτα ἄνδρα τινὰ πολιὸν μετὰ ἀπειλῆς αὐτῷ
and standing-by man a-certain gray with threat to-him
λέγοντα· "οὐκ ἀκούσεις προσεχῶς τοῦ ἀναγνώσματος, ἀλλὰ
saying not will-you-listen attentively to-the reading but
νυστάζεις;" ὁ δὲ ταραχθεὶς εὐθὺς ἡμῖν ἀκροωμένοις αὐτοῦ
you-doze he and having-been-troubled at-once to-us listening to-him
τὸ ὁραθὲν ῥωμαιστὶ ἐξέφηνεν. ἔτι δὲ τούτου λαλοῦντος
the(-thing) seen in-Latin disclosed still and him speaking
πρὸς ἡμᾶς ταῦτα, ἐπῆλθέ τις ἄγροικος κύαθον ἔχων
to us these came-up a-certain rustic (a)-cup having
μεστὸν ψάμμου, καὶ παρειστήκει ἐκδεχόμενος πληρῶσαι
full of-sand and stood-by waiting to-finish
αὐτὸν τὴν διήγησιν. ἐπυνθανόμεθα δὲ ἡμεῖς αὐτοῦ τοῦ
him the narrative inquired and we of-him the
πρεσβυτέρου· "τί ἄρα θέλει ὁ ἄγροικος μετὰ τῆς ψάμμου;"
presbyter what then wants the rustic with the sand
ἀπεκρίνατο δὲ πρὸς ἡμᾶς ὁ πατὴρ λέγων· "τεκνία μου,
answered and to us the father saying little-children my
οὐκ ἐχρῆν μὲν καυχᾶσθαι πρὸς ὑμᾶς οὐδὲ ἐξειπεῖν τὰ τῶν
not it-were-right indeed to-boast to you nor to-tell the of-the

πατέρων κατορθώματα, ἵνα μὴ ἐπαρθέντες κατὰ διάνοιαν
fathers achievements that not having-been-elated in mind
τὸν μισθὸν ἀπολέσωμεν. διὰ δὲ τὴν ὑμῶν σπουδὴν καὶ
the reward we-lose because-of but the your zeal and
ὠφέλειαν, ὅτι ἐκ τοσούτου μήκους πρὸς ἡμᾶς ἐληλύθατε
benefit since from such distance to us you-have-come
οὐ ζημιώσω ὑμᾶς τῆς ὠφελείας, ἀλλ' ἅπερ δι' ἡμῶν
not I-will-deprive you of-the benefit but what through us
ὁ θεὸς ᾠκονόμησε παρόντων τῶν ἀδελφῶν διηγήσομαι.
— God arranged being-present the brothers I-will-relate
Ἄκαρπος ἦν ἡ πλησίον ἡμῶν χώρα καὶ οἱ κεκτημένοι
barren was the near us land and the owning
αὐτὴν ἄγροικοι σπείραντες σῖτον μόλις ἐν διπλῷ τὸ σπέρμα
it rustics having-sown grain scarcely in double the seed
ἐθέριζον. σκώληξ γὰρ γεννώμενος ἐν τῷ σταχύι ὅλον τὸν
reaped (a)-worm for breeding in the ear whole the
ἀμητὸν διέφθειρεν. οἱ δὲ κατηχηθέντες παρ' ἡμῶν γεωργοὶ
harvest destroyed the and having-been-catechized by us farmers
καὶ Χριστιανοὶ γεγονότες ἠξίουν ἡμᾶς εὔχεσθαι ὑπὲρ τοῦ
and Christians having-become asked us to-pray for the
θερισμοῦ. εἶπον δὲ πρὸς αὐτούς· "εἰ ἔχετε πίστιν πρὸς τὸν
harvest I-said and to them if you-have faith toward —
θεόν, καὶ ἡ ἐρημικὴ αὕτη ψάμμος καρπὸν ὑμῖν προσοίσει."
God even the desert this sand fruit to-you will-bring
οἱ δὲ οὐδὲν ἀναβαλλόμενοι τῆς ψάμμου ταύτης τῆς
they and not-at-all delaying of-the sand this the(-one)
παρ' ἡμῖν πατουμένης τοὺς ἑαυτῶν κόλπους πληρώσαντες
among us trodden the their-own laps having-filled
εὐλογεῖν προσέφερον ἀξιοῦντες. ἐγὼ δὲ ὡς ηὐξάμην αὐτοῖς
to-bless brought(-it) asking I and when prayed for-them
κατὰ τὴν πίστιν αὐτῶν γενέσθαι, ἐκεῖνοι ἔσπειραν αὐτὴν
according-to the faith their to-be-done they sowed it

σὺν τῷ σίτῳ ἐν ταῖς ἀρούραις καὶ ἐξαίφνης πολύκαρπος
with the grain in the fields and suddenly fruitful
αὐτῶν ἡ χώρα γεγένηται παρὰ πᾶσαν γῆν Αἰγύπτου.
their the land has-become beyond all (the)-land of-Egypt
τοῦτο οὖν ποιεῖν ἔθος ἔχοντες κατ' ἐνιαυτὸν ἡμῖν ἐνοχλοῦσιν.
this so to-do custom having each year us they-trouble
Ἓν δέ μοι μέγα, φησίν, ὁ θεὸς πολλῶν παρόντων
one and to-me great he-says — God many being-present
θαῦμα παρέσχεν. κατελθὼν γάρ ποτε ἐν τῇ πόλει εὗρον
wonder granted having-gone-down for once into the city I-found
ἄνδρα τινὰ Μανιχαῖον τοὺς δήμους ἀποπλανήσαντα.
man a-certain (a)-Manichee the people having-led-astray
ὡς δὲ πείθειν αὐτὸν δημοσίᾳ οὐκ ἠδυνάμην, στραφεὶς
when and to-persuade him publicly not I-could having-turned
πρὸς τὸ πλῆθος εἶπον· "πυρὰν μεγάλην εἰς τὴν πλατεῖαν
to the crowd I-said (a)-pyre great in the street
ἀνάψατε καὶ εἰσερχόμεθα ἄμφω ἐν τῇ φλογί, καὶ ὅστις
kindle and we-go-in both into the flame and whoever
ἡμῶν ἀφλόγιστος διαμείνῃ, οὗτος ἔχει τὴν καλὴν πίστιν".
of-us unburned remains he has the good faith
ὡς δὲ γέγονε τοῦτο καὶ οἱ ὄχλοι ἐν σπουδῇ τὴν
when and had-happened this and the crowds in haste the
πυρὰν ἀνῆψαν, εἷλκον αὐτὸν μετ' ἐμαυτοῦ εἰς τὸ πῦρ.
pyre kindled I-dragged him with myself into the fire
ὁ δὲ φησίν· "εἷς ἕκαστος ἡμῶν καταμόνας εἰσελθέτω καὶ
he but says one each of-us alone let-go-in and
πρῶτος εἰσελθεῖν ὀφείλεις αὐτὸς ὁ προστάξας." ὡς δὲ
first to-go-in you-ought yourself the(-one) having-ordered when and
ἐν ὀνόματι τοῦ Χριστοῦ κατασφραγισάμενος εἰσελήλυθα,
in (the)-name — of-Christ having-sealed-myself I-went-in

ἡ φλὸξ ὧδε κἀκεῖ διαμερισθεῖσα οὐ παρηνόχλησέ μοι
the flame here and-there having-parted not troubled me
ἡμιώριον ἐν αὐτῇ διατρίψαντι.
half-an-hour in it having-spent
ἰδόντες δὲ οἱ ὄχλοι τὸ θαῦμα ἀνεβόησαν καὶ ἠνάγκαζον
having-seen and the crowds the wonder cried-out and compelled
πάλιν ἐκεῖνον εἰς τὴν πυρὰν εἰσελθεῖν. ὁ δὲ ὡς οὐκ ἤθελε
again him into the pyre to-go-in he but as not he-wished
δεδιώς, λαβόντες αὐτὸν οἱ δῆμοι εἰς μέσον ὤθησαν καὶ
fearing having-seized him the people into (the)-middle pushed and
περιφλογισθεὶς ὅλος ἀτίμως τῆς πόλεως ἐξερρίφη τῶν
burned-all-over whole dishonorably from-the city he-was-cast-out the
δήμων κραζόντων· "τὸν πλάνον ζῶντα καύσατε." ἐμὲ δὲ
people crying the deceiver alive burn me but
ἀναλαβόντες οἱ ὄχλοι καὶ εὐφημοῦντες εἰς τὴν ἐκκλησίαν
having-taken-up the crowds and acclaiming to the church
προέπεμψαν. Ἄλλοτε δέ μου παριόντος διὰ ναοῦ τινός
escorted another-time and I passing by temple a-certain
τινες τῶν ἐθνῶν τοῖς εἰδώλοις αὐτῶν ἐθυσίαζον. εἶπον δὲ
some of-the gentiles to-the idols their were-sacrificing I-said and
αὐτοῖς· "ἵνα τί λογικοὶ ὄντες ἀλόγοις θύετε; καὶ
to-them for what rational being to-irrational(-things) do-you-sacrifice and
ὑμεῖς αὐτῶν ἐστὲ λοιπὸν ἀλογώτεροι." οἱ δὲ ὡς καλῶς
you than-them are then more-irrational they and as well
εἰπόντος εὐθέως μοι ἠκολούθησαν τῷ σωτῆρι πιστεύσαντες.
(I)-having-said at-once me followed in-the savior having-believed
Κήπου δέ μοί ποτε ἐν τῇ πλησίον χώρᾳ ὑπάρχοντος διὰ
(a)-garden and to-me once in the nearby land being for
τὴν ἐρχομένην πρὸς ἡμᾶς ἀδελφότητα καὶ ἑνός τινος αὐτὸν
the coming to us brotherhood and one a-certain it
πένητος ἐργαζομένου εἰσῆλθέ τις τῶν Ἑλλήνων ἀποσυλῆσαι
poor(-man) working came-in one of-the pagans to-steal

τὰ λάχανα. ὡς δὲ συλήσας ἀπῆλθεν, ἕως τρίτης ὥρας
the vegetables when and having-stolen he-went-off until (the)-third hour
ἑψεῖν αὐτὰ οὐκ ἠδύνατο, ἀλλ᾽ ἔμειναν ἐν τῷ λέβητι,
to-boil them not he-could but they-remained in the cauldron
οἷάπερ καὶ εἴληπτο, μὴ θερμαινομένου ὅλως τοῦ ὕδατος.
just-as also they-had-been-taken not being-warmed at-all the water
ἐν ἑαυτῷ δὲ γενόμενος ὁ ἀνὴρ ἀναλαβὼν τὰ λάχανα
in himself and having-come the man having-taken-up the vegetables
πρὸς ἡμᾶς διεκόμισε παρακαλῶν συγχωρηθῆναι αὐτῷ τὸ
to us brought begging to-be-forgiven to-him the
πλημμέλημα καὶ γενέσθαι Χριστιανός· ὅπερ καὶ γέγονεν.
offense and to-become (a)-Christian which also happened
ἦσαν δὲ κατ᾽ αὐτὴν τὴν ὥραν ξένοι πρὸς ἡμᾶς ἐλθόντες
were and at same the hour strangers to us having-come
ἀδελφοί, δι᾽ οὓς μάλιστα ἐπιτηδείως ἡμῖν τὰ λάχανα
brothers for whom especially fittingly to-us the vegetables
προσηνέχθη. μεταλαβόντες οὖν ἐξ αὐτῶν ηὐχαριστήσαμεν
were-brought having-partaken so of them we-gave-thanks
τῷ θεῷ διπλῆν εὐφροσύνην ποιησάμενοι τήν τε τοῦ
— to-God double gladness having-made the both of-the
ἀνδρὸς σωτηρίαν καὶ τὴν τῶν ἀδελφῶν ἀνάπαυσιν.
man salvation and the of-the brothers refreshment

Surus, Isaiah, and Paul meet on the river and reach Anuph, who tells them of his life fed by an angel and dies three days later as they watch. Helle carries fire in his bosom, crosses the river on a crocodile, makes a wild ass carry his loads, and reads the secret thoughts of the brothers. Apelles, a smith, drives off the devil with a red-hot iron. John, who stood three years under a rock in prayer, is healed by an angel when his feet burst, and writes to the monasteries of their faults and virtues.

12 Ἀββᾶς Σοῦρος δέ ποτε καὶ Ἡσαίας καὶ Παῦλος συνέτυχον
abba Surus and once and Isaiah and Paul met
ἀλλήλοις ἐξαπίνης ἅμα ἐπὶ τῷ ποταμῷ εὑρεθέντες, ἄνδρες
one-another suddenly together at the river having-been-found men
εὐλαβεῖς καὶ ἀσκηταί, ὡς τὸν μέγαν ὁμολογητὴν ἀββᾶν
devout and ascetics as the great confessor abba
Ἀνοὺφ ἐπισκεψόμενοι — ἀπεῖχεν δὲ ἀπ᾽ αὐτῶν τρεῖς μονὰς
Anuph going-to-visit was-distant and from them three stations
τὸ διάστημα — καὶ φασὶ πρὸς ἀλλήλους· "ἐπιδειξάτω
the distance and they-say to one-another let-show
ἕκαστος ἡμῶν τὴν ἑαυτοῦ πολιτείαν καὶ ὅπως παρὰ θεοῦ ἐν
each of-us the his-own way-of-life and how by God in
τῷ βίῳ τούτῳ τετίμηται." ἀββᾶς Σοῦρος δὲ πρὸς αὐτοὺς
the life this he-has-been-honored abba Surus and to them
ἔφη· "αἰτοῦμαι παρὰ θεοῦ δῶρον, ἀκαμάτους ἡμᾶς φθάνειν
said I-ask from God (as-a)-gift untired us to-arrive
ἐπὶ τοῦ τόπου ἐν δυνάμει τοῦ πνεύματος." καὶ μόνον
at the place in (the)-power of-the spirit and only
εὐξαμένου αὐτοῦ πλοῖον ἕτοιμον εὑρέθη παραχρῆμα καὶ
having-prayed he (a)-boat ready was-found at-once and
ἄνεμος ἐπιτήδειος. καὶ ἐν ῥοπῇ εὑρέθησαν ἐπὶ τοῦ τόπου
(a)-wind suitable and in (a)-moment they-were-found at the place
ἀνελθόντες κατὰ τοῦ ῥεύματος. Ἡσαίας δὲ φησὶ πρὸς αὐτούς·
having-gone-up against the stream Isaiah and says to them

"καὶ τί θαυμαστόν, ὦ φίλοι, ἐὰν συναντήσῃ ἡμῖν ὁ ἀνὴρ
and what wonderful O friends if meets us the man
ἑκάστου τὰς πολιτείας διαγορεύων;" Παῦλος δὲ φησὶ πρὸς
of-each the ways-of-life declaring Paul and says to
αὐτούς· "εἰ ἀπεκάλυψεν ἡμῖν ὁ θεός, ὅτι μετὰ τρεῖς ἡμέρας
them if revealed to-us — God that after three days
ἀναλαμβάνει τὸν ἄνθρωπον;" ὡς δὲ προῆλθον μικρὸν
he-takes-up the man when and they-went-on (a)-little
τοῦ τόπου, ὁ ἀνὴρ αὐτοῖς ἀπαντήσας ἀσπάζεται αὐτούς.
from-the place the man them having-met greets them
καὶ φησὶ πρὸς αὐτὸν Παῦλος· "φράσον ἡμῖν τὰ σαυτοῦ
and says to him Paul tell us the your-own
κατορθώματα· μεταύριον γὰρ πρὸς θεὸν ἀπελεύσῃ."
achievements day-after-tomorrow for to God you-will-go
Εἶπεν δὲ ὁ ἀββᾶς Ἀνοὺφ πρὸς αὐτούς· "εὐλογητὸς ὁ θεὸς
said and — abba Anuph to them blessed — God
ὁ καμοὶ ταῦτα γνωρίσας καὶ τὴν ὑμῶν παρουσίαν
the(-one) to-me-too these having-made-known both the your coming
καὶ πολιτείαν." εἰπὼν δὲ ἑκάστου τὰ κατορθώματα καὶ
and way-of-life having-told and of-each the achievements also
τὰ ἑαυτοῦ λοιπὸν ἐξηγεῖτο λέγων· "ἐξ οὗ τὸ τοῦ σωτῆρος
the his-own then he-related saying from when the of-the savior
ὄνομα ἐπὶ τῆς γῆς ὡμολόγησα, οὐ προῆλθεν ψεῦδος ἐκ
name on the earth I-confessed not came-forth (a)-lie from
τοῦ στόματός μου, γήινον οὐδὲν διῃτήθην τοῦ ἀγγέλου
the mouth my earthly nothing I-lived-on the angel
με τρέφοντος τὴν οὐράνιον τροφὴν καθ' ἡμέραν· οὐδενὸς
me feeding the heavenly food each day for-nothing
ἑτέρου ἐπιθυμία ἀνῆλθεν εἰς τὴν καρδίαν μου, πλὴν τοῦ
other desire came-up into the heart my except —
θεοῦ· οὐδὲν ἀπέκρυψέν μοι ὁ θεὸς τῶν ἐπιγείων, ὃ
God nothing hid from-me — God of-the earthly(-things) which

οὐκ ἐγνώρισέν μοι· οὐκ ἔληξεν φῶς τοῖς ὀφθαλμοῖς μου·
not he-made-known to-me not ceased light to-the eyes my
οὐκ ἐν ἡμέρᾳ ὕπνωσα, οὐκ ἐν νυκτὶ ἀνεπαυσάμην τὸν
not by day I-slept not by night I-rested —
θεὸν ἐκζητῶν ἀλλ᾽ ἄγγελός μοι ἀεὶ συμπαρῆν τὰς τοῦ
God seeking but (an)-angel with-me always was-present the of-the
κόσμου δυνάμεις ἐπιδεικνύων· τὸ φῶς τῆς διανοίας μου
world powers showing the light of-the mind my
οὐκ ἐσβέσθη· πᾶν αἴτημα παρὰ θεοῦ εὐθὺς ἐλάμβανον.
not was-quenched every request from God at-once I-received
εἶδον πολλάκις μυριάδας ἀγγέλων τῷ θεῷ παρεστώσας·
I-saw often myriads of-angels — by-God standing
εἶδον χοροὺς δικαίων· εἶδον μαρτύρων ἀθροίσματα· εἶδον
I-saw choirs of-(the)-righteous I-saw of-martyrs gatherings I-saw
μοναχῶν πολιτεύματα, πάντων δι᾽ ἔργων τὸν θεὸν
of-monks communities all through works — God
εὐφημούντων· εἶδον τὸν σατανᾶ πυρὶ παραδιδόμενον· εἶδον
praising I-saw — Satan to-fire being-handed-over I-saw
τοὺς ἀγγέλους αὐτοῦ κολαζομένους· εἶδον τοὺς δικαίους
the angels his being-punished I-saw the righteous
αἰωνίως εὐφραινομένους." Ταῦτα δὲ καὶ ἄλλα πολλὰ
eternally rejoicing these and also other many(-things)
διηγούμενος ἐπὶ τρεῖς ἡμέρας παραδίδωσι τὴν ψυχήν. τὴν δὲ
relating for three days he-gives-up the soul it and
εὐθὺς ἄγγελοι ὑποδεξάμενοι καὶ χοροὶ μαρτύρων εἰς οὐρανοὺς
at-once angels having-received and choirs of-martyrs into heaven
ἀνήγαγον αὐτῶν ὁρώντων καὶ ἀκουόντων τοὺς ὕμνους.
led-up they seeing and hearing the hymns

13 Ἄλλος δέ τις πατήρ, ἀββᾶ Ἑλλῆ καλούμενος, ἐκ
another and a-certain father abba Helle called from
παιδόθεν τῇ ἀσκήσει προσκαρτερήσας τοῖς πλησίον αὐτοῦ
childhood in-the discipline having-persevered to-the near him

ἀδελφοῖς πολλάκις πῦρ ἐν κόλπῳ ἐβάσταζεν ἐρεθίζων
brothers often fire in (his)-bosom carried provoking
αὐτοὺς προβαίνειν εἰς ἐπίδειξιν τῶν σημείων, λέγων
them to-advance to (the)-display of-the signs saying
αὐτοῖς· "εἰ κατὰ ἀλήθειαν ἀσκεῖτε, τὰ σημεῖα λοιπὸν
to-them if in truth you-practice-discipline the signs then
τῆς ἀρετῆς ἐπιδείξασθε". ἄλλοτε δὲ αὐτῷ καθ᾽ ἑαυτὸν
of-the virtue display another-time and to-him by himself
γενομένῳ ἐν τῇ ἐρήμῳ ἐπιθυμία μέλιτος γέγονεν. εὐθὺς δὲ
being in the desert (a)-desire of-honey came at-once and
ὑπὸ πέτραν κηρία εὑράμενος, φησίν· "ἄπελθε ἀπ᾽ ἐμοῦ ἡ
under (a)-rock honeycombs having-found he-says go-away from me the
ἀκόλαστος ἐπιθυμία. γέγραπται γάρ· πνεύματι περιπατεῖτε
licentious desire it-is-written for by-(the)-spirit walk
καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε". καὶ καταλιπὼν
and (the)-desire of-flesh not — you-will-fulfill and having-left
αὐτὰ ἀπηλλάγη. ἤδη δὲ αὐτοῦ τρεῖς ἑβδομάδας ἐν τῇ
them he-departed already and he three weeks in the
ἐρήμῳ νηστεύσαντος ὀπώρας εὑρὼν ἐρριμμένας, εἶπεν·
desert having-fasted fruits having-found thrown-down he-said
"οὐ μὴ φάγω, οὐδ᾽ οὐ μὴ ἅψωμαί τινος ἐξ αὐτῶν, ἵνα μὴ
not — I-will-eat nor not — I-will-touch any of them that not
τὸν ἀδελφόν μου σκανδαλίσω, τοῦτ᾽ ἔστιν τὴν ψυχήν μου.
the brother my I-cause-to-stumble that is the soul my
γέγραπται γάρ· οὐκ ἐπὶ τροφῇ μόνῃ ζήσεται ἄνθρωπος".
it-is-written for not on food alone shall-live man
νηστεύσας δὲ καὶ ἄλλην ἑβδομάδα ὕστερον ἀπενύσταξεν· καὶ
having-fasted and also another week later he-dozed and
ἐλθὼν ἄγγελος κατ᾽ ὄναρ φησὶ πρὸς αὐτόν· "ἀναστὰς
having-come (an)-angel in (a)-dream says to him having-risen
τὰ εὑρισκόμενα ἆρον καὶ φάγε." ὁ δὲ ἐξανέστη κύκλῳ
the(-things) being-found take and eat he and rose-up around

περιβλεπόμενος καὶ ὁρᾷ πηγὴν βοτάνας τρυφερὰς κύκλῳ
looking-about and sees (a)-spring herbs tender around
βλαστήσασαν. μετειληφὼς δὲ τοῦ ποτοῦ καὶ τῆς τροφῆς
having-sprouted having-partaken and of-the drink and of-the food
τῶν λαχάνων διεβεβαιοῦτο μηδὲν ἡδύτερον αὐτῶν πώποτε
of-the vegetables he-affirmed nothing sweeter than-them ever
γεύσασθαι. σπήλαιον δὲ εὑρὼν μικρὸν ἐν τῷ τόπῳ
to-have-tasted (a)-cave and having-found small in the place
ἔμεινεν ἐκεῖ ὀλίγας ἡμέρας ἄσιτος. ὡς δὲ λοιπὸν τῆς
he-remained there few days without-food when and then of-the
τροφῆς ἐδέετο κλίνας τὰ γόνατα ηὔχετο. εὐθὺς δὲ αὐτῷ
food he-needed having-bent the knees he-prayed at-once and for-him
πάντα τὰ τῶν βρωσίμων παρέκειντο καὶ ἄρτοι θερμοὶ
all the(-things) of-the eatables lay-ready and loaves warm
καὶ ἐλαῖαι καὶ ὀπώρα τις διάφορος. ἐπεσκέψατο δέ ποτε
and olives and fruit some various he-visited and once
τοὺς ἑαυτοῦ ἀδελφούς, οὓς καὶ πολλὰ νουθετήσας ἐπὶ τὴν
the his-own brothers whom also much having-admonished to the
ἔρημον ἔσπευδεν ἐπικομιζόμενός τινα τῶν εἰς τὰς χρείας
desert hastened carrying some of-the(-things) for the needs
ἐπιτηδείων. ἰδὼν δὲ ὀνάγρους τινὰς βοσκομένας φησὶ
suitable having-seen and wild-asses some grazing he-says
πρὸς αὐτάς· "ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἡκέτω μία ἐξ ὑμῶν
to them in (the)-name of-Jesus Christ let-come one of you
ὑποδεξαμένη μου τὸ βάρος". ἡ δὲ εὐθὺς ἐπ' αὐτὸν ὥρμησεν.
having-taken-up my the burden she and at-once to him rushed
ἐπιθεὶς δὲ αὐτῇ τὰ σκεύη καὶ ἐπικαθίσας ἐν μιᾷ ἡμέρᾳ ἐπὶ τὸ
having-put and on-her the baggage and having-mounted in one day at the
σπήλαιον ἔφθασεν. διαθέντος δὲ αὐτοῦ τοὺς ἄρτους καὶ τὰς
cave arrived having-set-out and he the loaves and the

ὀπώρας ἐν τῷ ἡλίῳ ἦλθον ἐπ' αὐτά, ὡς ἔθος εἶχον, τὰ θηρία
fruits in the sun came to them as custom they-had the beasts
πρὸς τὴν πηγήν· καὶ ἁψάμενα μόνον τῶν ἄρτων ἀπέψυξαν.
to the spring and having-touched only the loaves died
Παραβαλὼν δὲ πρός τινας μοναχούς ποτε κυριακῆς
having-come and to some monks once Lord's-day
οὔσης ἔλεγε πρὸς αὐτούς· "τί δὴ σήμερον τὴν σύναξιν
being he-said to them why indeed today the synaxis
οὐκ ἐπετελέσατε"; τῶν δὲ φασκόντων, διὰ τὸ μὴ
not have-you-performed they and saying because-of the not
ἐληλυθέναι πέραθεν τὸν πρεσβύτερον, ἔλεγε πρὸς αὐτούς·
to-have-come from-across the presbyter he-said to them
"ἀπελθὼν καλέσω αὐτόν". οἱ δὲ ἔφασκον, μὴ δύνασθαί
having-gone I-will-call him they and said not to-be-able
τινα διαβαίνειν τὸν πόρον διὰ τὸ βάθος, ἀλλὰ γὰρ
anyone to-cross the ford because-of the depth but for
καὶ θηρίον μέγιστον εἶναι ἐν τῷ τόπῳ κροκόδειλόν τινα
also (a)-beast very-great to-be in the place crocodile a-certain
πολλοὺς ἀνθρώπους καταναλώσαντα. ὁ δὲ μὴ μελλήσας
many men having-devoured he but not having-delayed
ἀναστὰς ὥρμησεν ἐπὶ τὸν πόρον. καὶ εὐθὺς αὐτὸν τὸ θηρίον
having-risen rushed to the ford and at-once him the beast
ἐπὶ τοῦ νώτου ὑποδεξάμενον εἰς τὸ πέραν ἀπεκατέστησεν.
on the back having-received to the far(-side) set-down
εὑρὼν δὲ τὸν πρεσβύτερον ἐν τῷ χωρίῳ παρεκάλει, μὴ
having-found and the presbyter in the village he-begged not
ὑπεριδεῖν τὴν ἀδελφότητα. ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ῥάκος
to-neglect the brotherhood having-seen and him he (a)-rag
ἐνδεδυμένον πολύρραφον ἐπύθετο παρ' αὐτοῦ, πόθεν ἄρα
wearing much-patched inquired from him whence then
τὸ ῥάκος ἐκέκτητο ἐπειπών· "κάλλιστον ἔχεις ἱμάτιον
the rag he-had-got having-added most-beautiful you-have garment

τῆς ψυχῆς, ἀδελφέ''. τὴν δὲ ταπεινοφροσύνην αὐτοῦ
of-the soul brother the and humility his
θαυμάσας καὶ τὴν εὐτέλειαν εἵπετο αὐτῷ ἀπιόντι ἐπὶ
having-wondered-at and the plainness followed him going to
τὸν ποταμόν. ὡς δὲ πορθμεῖον οὐχ εὗρον, φωνὴν ἀφίησιν
the river when and (a)-ferry not they-found (a)-voice lets-out
ὁ ἀββᾶς Ἑλλῆ προσκαλούμενος τὸν κροκόδειλον. ὁ δὲ
— abba Helle calling the crocodile it and
εὐθὺς ὑπακούσας αὐτῷ παρῆν τὸν νῶτον ὑποστρωσάμενος.
at-once having-obeyed him was-present the back having-spread
ἠξίου δὲ τὸν πρεσβύτερον συνεπιβῆναι αὐτῷ.
he-asked and the presbyter to-mount-with him
ἔμφοβος δὴ γενόμενος ἐκεῖνος ἑωρακὼς τὸ θηρίον ἐπὶ
afraid indeed having-become he having-seen the beast to
τὰ ὄπισθεν ἀνεχώρει, ὡς δὴ θάμβος ἔσχεν αὐτὸν καὶ
the(-parts) behind withdrew when indeed amazement seized him and
τοὺς ἀντιπέραν οἰκοῦντας ἀδελφοὺς θεασαμένους αὐτὸν σὺν
the across dwelling brothers having-beheld him with
τῷ θηρίῳ τὸν πόρον διαπορθμεύσαντα. ἀνελθὼν εἰς τὴν
the beast the ford having-crossed having-gone-up onto the
ξηρὰν συνεπεσπάσατο τὸ θηρίον τεθνάναι ἄμεινον λέγων
dry(-land) he-drew-along the beast to-have-died better saying
αὐτῷ ἢ κερδᾶναι τῶν ἀναιρεθεισῶν ψυχῶν τὴν δίκην.
for-it than to-incur of-the slain souls the penalty
τὸ δὲ παραχρῆμα πεσὼν ἐξέψυξεν. Προσκαρτερήσας δὲ
it and at-once having-fallen expired having-stayed and
ἡμέρας τρεῖς τοῖς ἀδελφοῖς ἐκάθητο διδάσκων αὐτοὺς τὰς
days three with-the brothers he-sat teaching them the
ἐντολὰς καὶ τὰ ἑκάστου ἐν κρυπτῷ βουλεύματα φανερῶς
commandments and the of-each in secret designs openly
ἐξαγγέλλων, τὸν μὲν ὑπὸ πορνείας ἐνοχλεῖσθαι λέγων,
declaring one indeed by fornication to-be-troubled saying

τὸν δὲ ὑπὸ κενοδοξίας, ἄλλον ὑπὸ τρυφῆς, ἕτερον δὲ ὑπὸ
another and by vainglory another by luxury another and by
ὀργῆς· καὶ ὃν μὲν πρᾶον, ὃν δὲ εἰρηνικὸν ἀπεφήνατο·
anger and one indeed meek another and peaceable he-declared
τῶν μὲν τὴν κακίαν, τῶν δὲ τὰς ἀρετὰς ἐξελέγχων.
of-some indeed the wickedness of-others and the virtues exposing
ἀκούοντες δὲ ταῦτα ἐθαύμαζον λέγοντες ἀληθῶς οὕτως εἶναι.
hearing and these they-wondered saying truly so to-be
εἶπε δὲ πρὸς αὐτούς· "ἑτοιμάσατε ἡμῖν λάχανα. ἐλεύσονται
he-said and to them prepare for-us vegetables will-come
γὰρ σήμερον πλείονες ἀδελφοὶ πρὸς ἡμᾶς". οἱ δὲ ὡς
for today more brothers to us they and as
ηὐτρέπιζον ἐπιστάντες οἱ ἀδελφοὶ ἀλλήλους ἠσπάζοντο.
were-preparing having-arrived the brothers one-another greeted
Ἠξίου δέ τις αὐτὸν τῶν ἀδελφῶν συνδιάγειν αὐτῷ ἐν
asked and someone him of-the brothers to-live-with him in
τῇ ἐρήμῳ βουλόμενος. λέγοντος δὲ αὐτοῦ, μὴ δύνασθαι
the desert wishing saying and he not to-be-able
ὑπενεγκεῖν τοὺς πειρασμοὺς τῶν δαιμόνων, φιλονικώτερον
to-endure the temptations of-the demons more-contentiously
ἐκεῖνος διατεθεὶς πάντα ὑπενεγκεῖν ἐπηγγέλλετο. καὶ δὴ
he having-been-disposed all to-endure promised and indeed
ὑποδεξάμενος αὐτὸν εἰς ἕτερον σπήλαιον οἰκεῖν παρεκελεύετο.
having-received him in another cave to-dwell he-bade
ἐπιστάντες δὲ νύκτωρ οἱ δαίμονες πνίγειν αὐτὸν ἐπεχείρουν
having-come and by-night the demons to-choke him attempted
τὸ πρῶτον αἰσχροῖς λογισμοῖς ἱκανῶς διαταράξαντες·
the first with-shameful thoughts sufficiently having-troubled(-him)
ἐκδραμὼν δὲ ἐκεῖνος τὰ συμβάντα αὐτῷ ἀπήγγειλε τῷ
having-run-out and he the(-things) having-befallen him reported —
ἀββᾷ Ἑλλῆνι. περιχαράξας δὲ ἐκεῖνος τὸν τόπον ἐκέλευσε
to-abba Helle having-drawn-around and he the place bade

τὸ λοιπὸν μετὰ ἀδείας μένειν αὐτόν. Ἄρτων δὲ αὐτούς
the rest with security to-stay him loaves and them
ποτε ἐπιλειπόντων ἐν τῷ σπηλαίῳ ἐπιστὰς ἄγγελος ἐν
once failing in the cave having-come (an)-angel in
ἀδελφοῦ σχήματι ἐκόμιζεν αὐτοῖς τὴν τροφήν. ἄλλοτε δὲ
(a)-brother's form brought to-them the food another-time and
ἐπιζητοῦντες αὐτὸν ἀδελφοὶ δέκα τὸν ἀριθμὸν ἐπλάζοντο
seeking him brothers ten the number wandered
κατὰ τὴν ἔρημον ἑβδόμην ἡμέραν ἄσιτοι διατελοῦντες.
in the desert seventh day without-food continuing
εὑρὼν δὲ αὐτοὺς ἐκέλευσεν ἀναπαύεσθαι ἐν τῷ σπηλαίῳ.
having-found and them he-bade to-rest in the cave
οἱ δὲ ὡς ὑπέμνησαν περὶ διαίτης, ἐκεῖνος ἔλεγε πρὸς
they and when reminded(-him) about food he said to
αὐτούς· "δυνατὸς ἐστὶν ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν
them able is — God to-prepare (a)-table in
ἐρήμῳ". εὐθὺς δὲ πρὸ θυρῶν παῖς τις καλὸς νεανίας
(the)-desert at-once and before (the)-doors boy a-certain fine young-man
ἐπέμενε κρούων εὐχομένων αὐτῶν. ἀνοίξαντες δὲ εἶδον
persisted knocking praying they having-opened and they-saw
τὸν νεανίαν σπυρίδα μεγάλην μεστὴν ἄρτων καὶ ἐλαιῶν
the young-man (a)-basket great full of-loaves and olives
ἔχοντα. ὑποδεξάμενοι δὲ αὐτὰ μετελάμβανον εὐχαριστοῦντες
having having-received and them they-partook giving-thanks
τῷ κυρίῳ, τοῦ παιδὸς εὐθὺς ἀφανοῦς γενομένου.
to-the Lord the boy at-once vanished having-become
Ταῦτά τε καὶ ἄλλα πλείονα θαυμαστὰ ὁ πατὴρ Κόπρης
these both and other more wonderful(-things) the father Copres
ἡμῖν ὑφηγησάμενος καὶ φιλοφρονησάμενος ἡμᾶς κατὰ
to-us having-related and having-entertained us in
τρόπον εἰς τὸν ἑαυτοῦ κῆπον εἰσήγαγε δεικνύων ἡμῖν
order into the his-own garden led(-us) showing us

φοίνικας καὶ ἄλλα ὀπωρικά, ἅπερ αὐτὸς ἐν τῇ ἐρήμῳ
date-palms and other fruit-trees which he in the desert
ἐφύτευσεν ὑπὸ τῆς τῶν ἀγροίκων πίστεως ὑπομνησθείς.
planted by the of-the rustics faith having-been-reminded
πρὸς οὓς εἶπεν, ὅτι· "δύναται καὶ ἡ ἔρημος καρποφορῆσαι
to whom he-said that can even the desert to-bear-fruit
τοῖς ἔχουσι πίστιν εἰς τὸν θεόν. ὡς γὰρ εἶδον, φησίν,
for-those having faith in — God when for I-saw he-says
αὐτοὺς τὴν ψάμμον σπείραντας καὶ τὴν χώραν αὐτῶν
them the sand having-sown and the land their
καρποφορήσασαν κἀγὼ τὸ αὐτὸ ἐπιχειρήσας ἐπέτυχον".
having-borne-fruit I-too the same having-attempted succeeded
Εἴδομεν δὲ καὶ ἕτερον πρεσβύτερον ἐν τοῖς μέρεσι 14
we-saw and also another presbyter in the parts
τῆς Ἀχωρέως, ὀνόματι Ἀπελλῆν, ἄνδρα δίκαιον καὶ
— of-Achoris by-name Apelles (a)-man righteous and
τὴν χαλκευτικὴν τέχνην πρῶτον μετελθόντα κἀκεῖθεν
the smith's craft first having-pursued and-thence
εἰς ἄσκησιν τραπέντα. ὃς ἐλθόντος ποτὲ τοῦ διαβόλου
to discipline having-turned who having-come once the devil
πρὸς αὐτὸν ἐν γυναικείῳ σχήματι, ὡς τὰς χρείας τῶν
to him in (a)-woman's form as the needs of-the
μοναχῶν χαλκεύων ἐτύγχανεν, ἁρπάσας ἐκ τοῦ πυρὸς
monks forging he-happened having-snatched from the fire
πεπυρωμένον σιδήριον τῇ χειρὶ διὰ τὴν σπουδὴν
red-hot iron with-the hand because-of the haste
τὸ πρόσωπον αὐτῆς ὅλον καὶ τὸ σῶμα κατέκαυσεν. καὶ
the face her whole and the body he-burned and
ἤκουον ταύτης οἱ ἀδελφοὶ ὀλολυζούσης ἐν τῷ κελλίῳ.
heard her the brothers shrieking in the cell
ἐξ ἐκείνου λοιπὸν ὁ ἀνὴρ πάντοτε τὸ σιδήριον τῇ
from that(-time) henceforth the man always the iron in-the

χειρὶ ἐκράτει πεπυρωμένον μὴ βλαπτόμενος. ὃς ἡμᾶς
hand held red-hot not being-harmed who us
φιλοφρόνως ὑποδεξάμενος περὶ τῶν σὺν αὐτῷ γενομένων
kindly having-received about the with him having-been
ἀξιοθέων ἀνδρῶν ὑφηγεῖτο ἔτι νῦν περιόντων.
godly men related still now surviving

15 Ἐστί, φησίν, ἐν τῇ ἐρήμῳ ταύτῃ ἀδελφὸς ἡμέτερος,
there-is he-says in the desert this (a)-brother our
ὀνόματι Ἰωάννης, τοὺς μὲν λοιπὸν ἡλικίᾳ, πάντας δὲ τοὺς
by-name John the indeed rest in-age all and the
νῦν μοναχοὺς ταῖς ἀρεταῖς ὑπερβάλλων, ὃν οὐδεὶς ταχέως
now monks in-the virtues surpassing whom no-one quickly
εὑρεῖν δύναται διὰ τὸ ἀεὶ μεταβαίνειν αὐτὸν τόπον
to-find can because-of the always to-move him place
ἐκ τόπου ἐν ταῖς ἐρήμοις. οὗτος τὸ πρῶτον ἑστὼς ἐπὶ
from place in the deserts he the first standing for
τρισὶν ἔτεσιν ὑπὸ πέτραν τινὰ πάντοτε προσευχόμενος
three years under rock a-certain always praying
διετέλεσε, μὴ καθίσας ὅλως, μὴ κοιμηθείς, ἀλλ' ὅσον
continued not having-sat at-all not having-slept but only-so-much
ἑστὼς τοῦ ὕπνου μόνον ἀφήρπαζεν, τῇ κυριακῇ μόνον
standing of-the sleep only snatched on-the Lord's-day only
τῆς εὐχαριστίας μεταλαμβάνων τοῦ πρεσβυτέρου αὐτῷ
of-the eucharist partaking the presbyter to-him
ἀποφέροντος. ἄλλο οὐδὲν διῃτᾶτο. Καὶ δὴ μιᾷ τῶν
bringing other nothing he-lived-on and indeed (on)-one of-the
ἡμερῶν μετασχηματισάμενος ἑαυτὸν ὁ σατανᾶς εἰς τὸν
days having-transformed himself — Satan into the
πρεσβύτερον ταχύτερον πρὸς αὐτὸν ἄπεισιν προσποιούμενος
presbyter earlier to him goes pretending
αὐτῷ τὴν κοινωνίαν ἐπιδιδόναι. ἐπιγνοὺς δὲ αὐτὸν ὁ
to-him the communion to-give having-recognized and him the

μακάριος Ἰωάννης εἶπε πρὸς αὐτόν· "ὦ παντὸς δόλου
blessed John said to him O of-all deceit
καὶ πάσης ῥᾳδιουργίας πάτερ, ἐχθρὲ πάσης δικαιοσύνης,
and of-all villainy father enemy of-all righteousness
οὐ παύῃ ἀπατῶν τὰς τῶν Χριστιανῶν ψυχάς, ἀλλὰ
not do-you-cease deceiving the of-the Christians souls but
τολμᾷς καὶ αὐτοῖς ἐπιβαίνειν τοῖς ἀχράντοις μυστηρίοις;"
you-dare even themselves to-assail the undefiled mysteries
ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· "παρὰ μικρὸν ἐκέρδησα
he and to him answered by little I-would-have-won
ἄν σε καταβαλών. οὕτω γὰρ καί τινα τῶν σῶν ἀδελφῶν
— you having-thrown thus for also one of-the your brothers
ἀπεπλάνησα καὶ ἔκφρονα γενόμενον εἰς μανίαν ἀπήγαγον.
I-led-astray and senseless having-become into madness I-led
ὑπὲρ οὗ πολλοὶ δίκαιοι πολλὰ προσευξάμενοι μόλις ἴσχυσαν
for whom many righteous much having-prayed scarcely were-able
αὐτὸν εἰς φρόνησιν ἀγαγεῖν". καὶ ταῦτα εἰπὼν ὁ δαίμων
him to sense to-bring and these having-said the demon
ἀπ' αὐτοῦ ἀπηλλάγη. Διαρραγέντων δὲ αὐτοῦ τῶν ποδῶν
from him departed having-burst and his the feet
ἐκ τῆς ἀκινησίας τοῦ πολλοῦ χρόνου καὶ τῶν ἰχώρων
from the immobility of-the long time and the discharges
προερχομένων ἐπιστὰς ἄγγελος ἥψατο τοῦ στόματος αὐτοῦ
coming-out having-come (an)-angel touched the mouth his
λέγων· "ὁ κύριος ἔσται σοι ἀληθὴς βρῶσις καὶ τὸ πνεῦμα
saying the Lord will-be to-you true food and the spirit
τὸ ἅγιον ἀληθὲς πόμα καὶ ἀρκεῖ σοι τέως ἡ πνευματικὴ
the holy true drink and suffices you for-now the spiritual
τροφή, ἵνα μὴ πλησθεὶς ἐξεμέσῃς". καὶ θεραπεύσας αὐτὸν
food that not having-been-filled you-vomit and having-healed him
μετέστησεν ἐκ τοῦ τόπου· διῆγε δὲ κατὰ τὴν ἔρημον
removed(-him) from the place he-lived and in the desert

λοιπὸν περιάγων καὶ ἐσθίων βοτάνας. τῇ κυριακῇ δὲ εἰς
henceforth going-about and eating herbs on-the Lord's-day but in
τὸν αὐτὸν τόπον ηὑρίσκετο τῆς κοινωνίας μεταλαμβάνων.
the same place he-was-found the communion partaking
Βαία δὲ ὀλίγα παρὰ τοῦ πρεσβυτέρου αἰτησάμενος
palm-leaves and few from the presbyter having-asked
ζώνας τοῖς ζώοις εἰργάζετο. βουληθέντος δὲ ἀπελθεῖν πρὸς
girths for-the animals he-made having-wished and to-go to
αὐτὸν χωλοῦ τινος θεραπείας ἕνεκεν καὶ ἐπιβάντος
him lame(-man) a-certain of-healing for-the-sake and having-mounted
μόνον τῷ ὄνῳ, ὡς οἱ πόδες αὐτοῦ τῆς ζώνης ἥψαντο
only the ass when the feet his the girth touched
τῆς παρὰ τοῦ ἁγίου ἀνδρὸς γενομένης παραχρῆμα
the(-one) by the holy man made at-once
ἐθεραπεύθη. ἄλλοτε εὐλογίας τοῖς ἀρρώστοις ἀπέστειλε
he-was-healed another-time blessings to-the sick he-sent
καὶ ἀπηλλάγησαν εὐθέως τῆς νόσου. Ἀποκαλύπτεται δὲ
and they-were-freed at-once from-the sickness it-is-revealed and
αὐτῷ ποτε περὶ τῶν αὐτοῦ μοναστηρίων, ὅτι τινὲς αὐτῶν
to-him once about the his monasteries that some of-them
οὐκ ὀρθὴν ἔχουσι πολιτείαν καὶ γράφει πᾶσιν ἐπιστολὰς
not (a)-right have way-of-life and he-writes to-all letters
διὰ τοῦ πρεσβυτέρου, ὅτι ἐκεῖνοι μὲν ῥαθυμοῦσιν, οὗτοι
through the presbyter that those indeed are-slothful these
δὲ σπεύδουσι πρὸς ἀρετήν. καὶ εὑρέθη ἡ ἀλήθεια οὕτως
and hasten toward virtue and was-found the truth so
ἔχουσα. γράφει δὲ καὶ τοῖς πατράσιν, ὅτι τινὲς αὐτῶν
being he-writes and also to-the fathers that some of-them
ὀλιγωροῦσι περὶ τῆς τῶν ἀδελφῶν σωτηρίας, ἄλλοι
neglect about the of-the brothers salvation others
δὲ ἱκανῶς παρακαλοῦσι· καὶ ἑκατέρων τὰς τιμὰς καὶ
and sufficiently exhort and of-each the honors and

τὰς κολάσεις ἀπήγγειλεν. καὶ πάλιν ἄλλους πρὸς τὴν
the punishments he-declared and again others to the
τελειοτέραν κατάστασιν προσκαλούμενος ὑπεμίμνησκεν ἀπὸ
more-perfect state inviting he-reminded from
τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ ἀναχωρεῖν· "καιρὸς γὰρ
the sensible(-things) to the intelligible(-things) to-withdraw (the)-time for
λοιπὸν τὴν τοιαύτην ἐνδείξασθαι πολιτείαν. οὐ γὰρ παῖδες,
now the such to-display way-of-life not for children
φησί, καὶ νήπιοι τὸν πάντα χρόνον ὀφείλομεν διαμένειν,
he-says and infants the all time we-ought to-remain
ἀλλ' ἤδη τοῖς τελειοτέροις ἐπιβάλλειν νοήμασι καὶ τῆς
but already to-the more-perfect to-apply-ourselves thoughts and of-the
ἀνδρείας ἐφάψασθαι καὶ ταῖς μεγίσταις ἀρεταῖς ἐπιβῆναι".
courage to-lay-hold and the greatest virtues to-mount
Ταῦτα καὶ ἕτερα πλείονα ἡμῖν ὁ πατὴρ περὶ τοῦ ἀνδρὸς
these and other more(-things) to-us the father about the man
διηγεῖτο, ἅπερ δι' ὑπερβολὴν θαύματος ἅπαντα οὐκ
related which because-of excess of-wonder all not
ἐγράψαμεν, οὐχ ὅτι οὐκ ἦν ἀληθῆ ἀλλὰ διὰ τήν
we-have-written not that not they-were true but because-of the
τινων ἀπιστίαν. ἡμεῖς δὲ ἱκανῶς πεπληροφορήμεθα πολλῶν
of-some unbelief we but sufficiently have-been-assured many
καὶ μεγάλων ταῦτα ἡμῖν διηγουμένων καὶ αὐταῖς ὄψεσιν
and great(-men) these to-us relating and with-the-very eyes
ἑωρακότων.
having-seen(-them)

Paphnutius asks God whom he resembles and is shown a flute player who once saved a virgin from robbers and a woman from her creditors, a village headman who kept hospitality and justice for thirty years, and an Alexandrian merchant who gave his trade to the poor; each follows him into the desert and dies there, and angels take up Paphnutius' own soul. Pityrion teaches the discernment of spirits, Eulogius reads the thoughts of those coming to communion, Isidore's monastery keeps its thousand monks within its walls, and Serapion's brothers send their harvest to the poor.

16 Ἐθεασάμεθα δὲ καὶ τὸν τόπον Παφνουτίου τοῦ ἀναχωρητοῦ
we-beheld and also the place of-Paphnutius the anchorite
ἀνδρὸς μεγάλου καὶ ἐναρέτου, ὃς οὐ πρὸ πολλοῦ χρόνου
(a)-man great and virtuous who not before long time
ἐτελειώθη ἐν τῇ περιχώρῳ Ἡρακλέως τῆς Θηβαίδος. περὶ
was-perfected in the district of-Heracles — of-(the)-Thebaid about
οὗ πολλοὶ πολλὰ διηγήσαντο. Οὗτος μὲν γὰρ μετὰ
whom many many(-things) related he indeed for after
πολλὴν ἄσκησιν ἐδέετο τοῦ θεοῦ, γνωρισθῆναι αὐτῷ, τίνος
much discipline begged — of-God to-be-made-known to-him to-which
τῶν κατορθωσάντων ἁγίων εἴη ὅμοιος. ἄγγελος δὲ
of-the having-succeeded saints he-might-be like (an)-angel and
ὀφθεὶς εἶπεν αὐτῷ· "ὅμοιος εἶ τοῦδε τοῦ αὐλητοῦ
having-appeared said to-him like you-are to-this the flute-player
τοῦ ἐν τῇδε τῇ πόλει διάγοντος". ὁ δὲ μετὰ σπουδῆς
the(-one) in this the city living he and with haste
ὁρμήσας πρὸς αὐτὸν ἐπύθετο παρ' αὐτοῦ τὴν αὐτοῦ
having-hurried to him inquired from him the his
πολιτείαν καὶ τὰς πράξεις αὐτοῦ πάσας διερευνᾶτο. ὁ δὲ
way-of-life and the deeds his all searched-out he and
φησὶ πρὸς αὐτόν, ὅπερ καὶ ἦν ἀληθές, ἁμαρτωλὸν ἑαυτὸν
says to him which also was true (a)-sinner himself

εἶναι καὶ μέθυσον καὶ πόρνον οὐ πρὸ πολλοῦ τινος
to-be and (a)-drunkard and (a)-fornicator not before long some
χρόνου ἐκ τῆς ληστρικῆς εἰς τοῦτο μεταβληθέντα. ὡς δὲ
time from the robber's(-life) to this having-changed when and
ἠκριβεύετο παρ' αὐτοῦ· τί τῶν καλῶν αὐτῷ κατώρθωτο
he-inquired-closely from him what of-the good(-things) by-him had-been-achieved
πώποτε· ἔφησε πρὸς αὐτόν, μηδὲν ἕτερον ἑαυτῷ καλὸν
ever he-said to him nothing other in-himself good
συνειδέναι, πλὴν ὅτι ποτὲ ἐν τῷ ληστρικῷ τρόπῳ ὑπάρχων
to-be-conscious-of except that once in the robber's way being
παρθένον τοῦ θεοῦ μέλλουσαν ὑπὸ ληστῶν διαφθαρῆναι
(a)-virgin — of-God being-about by robbers to-be-ravished
ἐξείλατο καὶ νυκτὸς ἄχρι τῆς κώμης ἀπεκατέστησεν.
he-rescued and by-night as-far-as the village restored(-her)
"ἄλλοτε δὲ πάλιν γυναῖκα εὔμορφον εὑρὼν πλαζομένην
another-time and again (a)-woman comely having-found wandering
κατὰ τὴν ἔρημον, φυγαδευθεῖσαν ὑπὸ τῶν ταξεωτῶν τοῦ
in the desert having-been-driven-out by the officers of-the
ἄρχοντος καὶ βουλευτῶν διὰ χρέος δημόσιον ἀνδρικὸν
governor and councilors because-of debt public (her)-husband's
καὶ ἀποδυρομένην τὴν πλάνην, ἐπυθόμην παρ' αὐτῆς τοῦ
and lamenting the wandering I-inquired from her of-the
ὀδυρμοῦ τὴν αἰτίαν. ἡ δὲ εἶπε· μηδὲν ἐρώτα με, δέσποτα,
lament the cause she and said nothing ask me master
μηδὲ ἐξέταζε τὴν ἀθλίαν, ἀλλ' ὡς θεραπαινίδα σήν, ὅπου
nor examine the wretched(-woman) but as maidservant your wherever
βούλει, ἀπάγαγε. τοῦ γὰρ ἀνδρός μου πολλάκις μαστιχθέντος
you-wish lead-away the for husband my often having-been-flogged
ἐπὶ διετῆ χρόνον ὑπὲρ χρέους δημοσίου χρυσίνων τριακοσίων
for two-year time for debt public of-gold-pieces three-hundred
καὶ ἐν φυλακῇ καθειργμένου καὶ τῶν φιλτάτων μου παίδων
and in prison shut-up and the dearest my children

τριῶν διαπραθέντων ἐγὼ φυγὰς οἴχομαι τόπον ἐκ τόπου
three having-been-sold I (a)-fugitive go place from place
μετερχομένη. νῦν δὲ κατὰ τὴν ἔρημον πλανῶμαι πολλάκις
moving now and in the desert I-wander often
εὑρεθεῖσα καὶ συνεχῶς μαστιγωθεῖσα καὶ νῦν τρίτην ἔχω
having-been-found and continually having-been-flogged and now third I-have
ἐν τῇ ἐρήμῳ ἡμέραν ἄσιτος διαμείνασα. ἐγὼ δὲ ἐλεήσας
in the desert day without-food having-remained I and having-pitied
αὐτήν, φησίν, ἀπαγαγὼν εἰς τὸ σπήλαιον δοὺς αὐτῇ
her he-says having-led-away into the cave having-given her
τοὺς τριακοσίους χρυσίνους ἄχρι τῆς πόλεως ὡδήγησα
the three-hundred gold-pieces as-far-as the city I-guided(-her)
ἐλευθερώσας αὐτῆς μετὰ τῶν τέκνων καὶ τὸν ἄνδρα".
having-freed her with the children also the husband
πρὸς ὃν ἀπεκρίνατο ὁ Παφνούτιος· "ἐγὼ μὲν οὐδὲν
to whom answered — Paphnutius I indeed nothing
ἐμαυτῷ σύνοιδα τῶν τοιούτων τι κατωρθωκότι· ἐν δὲ
in-myself am-conscious of-the such(-things) any having-achieved in but
τῇ ἀσκήσει πάντως ἀκήκοάς με εἶναι διαβόητον. οὐ γὰρ
the discipline surely you-have-heard me to-be famous not for
ῥαθύμως τὴν ἐμαυτοῦ ζωὴν διελήλυθα. ἐμοὶ οὖν ὁ θεὸς
slothfully the my-own life I-have-passed to-me so — God
περί σου ἀπεκάλυψεν, ὅτι οὐδὲν ἔλαττον ἐμοῦ ἔχεις ἐν
about you revealed that nothing less than-me you-have in
τοῖς κατορθώμασιν. εἰ οὖν οὐκ ὀλίγος λόγος, ἀδελφέ, περί
the achievements if so not little account brother about
σου τῇ θεότητι γίνεται, μὴ τῆς σεαυτοῦ ψυχῆς, ὡς
you with-the divinity is not the your-own soul as
ἔτυχεν, ἀμελήσῃς". ὁ δὲ ῥίψας εὐθύς, ὡς εἶχεν ἐν
it-chanced neglect he and having-thrown-away at-once as he-had in
ταῖς χερσὶ τοὺς αὐλοὺς καὶ τὴν ἐναρμόνιον τῆς μουσικῆς
the hands the flutes and the harmonious of-the music

ᾠδὴν εἰς πνευματικὴν μεταβαλὼν μελῳδίαν, τῷ ἀνδρὶ εἰς
song into spiritual having-changed melody the man into
τὴν ἔρημον ἠκολούθησεν. ἐν τρισὶ δὲ ἔτεσιν ὅλοις κατὰ
the desert followed in three and years whole with
κράτος ἀσκήσας καὶ ἐν ὕμνοις καὶ προσευχαῖς τὸν
might having-practiced-discipline and in hymns and prayers the
ἑαυτοῦ χρόνον τῆς ζωῆς διατελέσας πρὸς τὴν οὐράνιον
his-own time of-the life having-completed for the heavenly
πορείαν ἐστέλλετο σὺν χοροῖς ἁγίων καὶ τάγμασι δικαίων
journey he-set-out with choirs of-saints and ranks of-righteous
ἀριθμηθεὶς ἀνεπαύσατο.
having-been-numbered he-rested

Ὡς γοῦν ἐκεῖνον ἐνασκήσαντα καλῶς ταῖς ἀρεταῖς πρὸς
when at-any-rate him having-trained well in-the virtues to
θεὸν προαπέστειλεν ἐπιθεὶς ἑαυτῷ μείζονα πολιτείαν
God he-had-sent-ahead having-imposed on-himself greater way-of-life
τῆς ἔμπροσθεν, ἠρώτα τὸν θεὸν πάλιν, δηλωθῆναι αὐτῷ,
than-the former he-asked — God again to-be-shown to-him
τίνος τῶν ἁγίων ἄρα εἴη ὅμοιος. καὶ πάλιν φωνή
to-which of-the saints then he-might-be like and again voice
τις γέγονε θεία πρὸς αὐτὸν λέγουσα· "ἔοικας τῷ τῆς
a-certain came divine to him saying you-are-like the of-the
πλησίον κώμης πρωτοκωμήτῃ". ὁ δὲ ὡς τάχιστα πρὸς
nearby village headman he and as quickly-as-possible to
αὐτὸν ἦκε, καὶ δὴ κρούσαντος αὐτοῦ τὸν πυλῶνα προῆλθεν
him came and indeed having-knocked he the gate came-out
ἐκεῖνος κατὰ τὸ ἔθος τὸν ξένον ὑποδεξάμενος. νίψας
he according-to the custom the stranger having-received having-washed
δὲ τοὺς πόδας αὐτοῦ καὶ παραθεὶς τράπεζαν προετρέπετο
and the feet his and having-set (a)-table he-urged(-him)
μεταλαβεῖν τῶν ἐδωδίμων. πυθομένου δὲ τὰς πράξεις
to-partake of-the eatables having-inquired and the deeds

αὐτοῦ καὶ λέγοντος· "ὦ ἄνθρωπε, τὰς σεαυτοῦ πολιτείας
his and saying O man the your-own ways-of-life
φράσον· πολλοὺς γὰρ μοναχούς, ὥς μοι ὁ θεὸς ἐδήλωσεν,
tell many for monks as to-me — God showed
ὑπερβέβηκας". ὁ δὲ ἔλεγεν ἑαυτὸν ἁμαρτωλὸν εἶναι καὶ
you-have-surpassed he and said himself (a)-sinner to-be and
ἀνάξιον τοῦ ὀνόματος τῶν μοναχῶν. ὡς δὲ ἐπέμενεν
unworthy of-the name of-the monks when and he-persisted
ἐρωτῶν, ἀπεκρίνατο ὁ ἄνθρωπος λέγων· "ἐγὼ μὲν οὐκ εἶχον
asking answered the man saying I indeed not had
ἀνάγκην τὰ ἐμαυτοῦ δράματα ἐξαγορεῦσαι. ἐπειδὴ δὲ παρὰ
need the my-own deeds to-declare since but from
θεοῦ λέγεις ἐληλυθέναι, τὰ προσόντα μοι ἀπαγγελῶ σοι.
God you-say to-have-come the(-things) belonging to-me I-will-tell you
ἐμοὶ μὲν τριακοστὸν ἤδη τουτέστιν ἔτος, ἐξ οὗ ἐμαυτὸν
to-me indeed thirtieth already this-is year from when myself
τῆς γαμετῆς μου ἐχώρισα τρία αὐτῇ μόνον προσομιλήσας
from-the wife my I-separated three with-her only having-lived
ἔτη καὶ τρεῖς υἱοὺς ἐξ αὐτῆς ποιήσας, οἳ δὴ καὶ ταῖς
years and three sons from her having-begotten who indeed also the
χρείαις μου ὑπηρετοῦσιν. οὐκ ἐπαυσάμην τῆς φιλοξενίας
needs my serve not I-have-ceased from-the hospitality
μέχρι τῆς σήμερον· οὐ καυχᾶταί τις τῶν κωμητῶν
until the today not boasts any of-the villagers
πρὸ ἐμοῦ τὸν ξένον ὑποδεξάμενος· οὐκ ἐξῆλθε πένης
before me the stranger having-received not went-out (a)-poor(-man)
οὐδὲ ξένος κεναῖς χερσὶ τὴν ἐμὴν αὐλήν, μὴ πρότερον
nor stranger with-empty hands the my court not first
ἐφοδιασθεὶς κατὰ λόγον· "οὐ παρεῖδον πένητα
having-been-supplied according-to reason not I-overlooked (a)-poor(-man)
δυστυχήσαντα μὴ ἱκανὴν παραμυθίαν αὐτῷ χορηγήσας·
having-been-unfortunate not sufficient comfort to-him having-supplied

οὐκ ἔλαβον πρόσωπον τέκνου μου ἐν κρίσει· οὐκ εἰσῆλθον
not I-took (the)-face of-child my in judgment not came
εἰς τὸν οἰκόν μου καρποὶ ἀλλότριοι· οὐκ ἐγένετο μάχη,
into the house my fruits another's not arose (a)-quarrel
ἣν μὴ εἰρήνευσα· οὐκ ἐμέμψατό τις ἐπ' ἀτοπίᾳ τοὺς
which not I-pacified not blamed anyone for misconduct the
ἐμοὺς παῖδας· οὐχ ἥψαντο τῶν ἀλλοτρίων καρπῶν αἱ
my children not touched the another's fruits the
ἀγέλαι μου· οὐκ ἔσπειρα πρῶτος τὰς ἐμὰς χώρας, ἀλλὰ
herds my not I-sowed first the my fields but
πᾶσιν αὐτὰς κοινὰς προθέμενος τὰς ὑπολειφθείσας
to-all them common having-set-forth the(-ones) left-over
ἐκαρπωσάμην· οὐ συνεχώρησα καταδυναστευθῆναι πένητα
I-harvested not I-allowed to-be-oppressed (a)-poor(-man)
ὑπὸ πλουσίου· οὐ παρελύπησά τινα ἐν τῷ βίῳ μου·
by (a)-rich(-man) not I-grieved anyone in the life my
κρίσιν πονηρὰν κατ' οὐδενός ποτε ἐξενήνοχα. ταῦτα
judgment evil against no-one ever I-have-brought-out these
θεοῦ θέλοντος σύνοιδα ἐμαυτῷ πεπραγμένα".
God willing I-am-conscious in-myself done
ἀκούσας δὲ ὁ Παφνούτιος τὰς τοῦ ἀνδρὸς ἀρετὰς τὴν
having-heard and — Paphnutius the of-the man virtues the
κεφαλὴν αὐτοῦ ἐφίλει λέγων· "εὐλογήσαι σε κύριος ἐκ
head his kissed saying may-bless you (the)-Lord out-of
Σιὼν καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ. καλῶς δὲ ταῦτα
Zion and may-you-see the good(-things) of-Jerusalem well and these
κατώρθωσας. λείπεται δέ σοι ἕν· τῶν ἀρετῶν τὸ κεφάλαιον
you-have-achieved remains but for-you one of-the virtues the chief
ἡ πάνσοφος περὶ θεοῦ γνῶσις, ἣν οὐκ ἂν δυνήσῃ
the all-wise about God knowledge which not — you-will-be-able
ἀπόνως κτήσασθαι, εἰ μὴ τῷ κόσμῳ ἀπαρνησάμενος καὶ
without-toil to-acquire if not the world having-renounced and

λαβὼν τὸν σταυρὸν τῷ σωτῆρι ἀκολουθήσῃς. ὁ δὲ ὡς
having-taken the cross the savior you-follow he and when
ἤκουσε ταῦτα εὐθὺς μηδὲ τοῖς ἑαυτοῦ συνταξάμενος
heard these at-once not-even to-the(-ones) his-own having-said-farewell
εἵπετο τῷ ἀνδρὶ ἐπὶ τὸ ὄρος. Καὶ δὴ ἐλθόντες ἐπὶ τὸν
followed the man to the mountain and indeed having-come to the
ποταμὸν μηδαμοῦ σκάφους παραφανέντος προσέταττεν ὁ
river nowhere (a)-boat having-appeared ordered —
Παφνούτιος πεζεύειν τὸν ποταμόν, ὃν οὐδεὶς πώποτε κατ᾽
Paphnutius to-wade the river which no-one ever at
ἐκεῖνον τὸν τόπον ἐπέζευσε διὰ τὸ βάθος. παρελθόντων
that the place waded because-of the depth having-passed
δὲ αὐτῶν καὶ τοῦ ὕδατος αὐτοῖς ἕως τῆς ζώνης γενομένου
and they and the water to-them up-to the waist having-come
κατέστησεν αὐτὸν ἔν τινι τόπῳ, αὐτὸς ἑαυτὸν διαχωρίσας
he-set him in a-certain place himself himself having-separated
ἐδέετο τοῦ θεοῦ κρείττω φανῆναι τῶν τοιούτων.
begged — of-God better to-appear than-the such(-things)
μετ᾽ οὐ πολὺ δὲ χρόνου εἶδε τὴν ψυχὴν τοῦ ἀνδρὸς
after not much and time he-saw the soul of-the man
ὑπὸ ἀγγέλων ἀναλαμβανομένην ὑμνούντων τὸν θεὸν καὶ
by angels being-taken-up hymning — God and
λεγόντων· μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου,
saying blessed (he)-whom you-chose and took-to-yourself
κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου". καὶ πάλιν τῶν δικαίων
he-will-dwell in the courts your and again the righteous
ἀποκρινομένων καὶ λεγόντων· "εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι
answering and saying peace much to-those loving
τὸν νόμον σου". καὶ ἔγνω ὅτι ὁ ἀνὴρ τετελείωται. Ὡς δὲ
the law your and he-knew that the man has-been-perfected when and
ἐπέμενεν ὁ Παφνούτιος δυσωπῶν ταῖς εὐχαῖς τὸν θεὸν
persisted — Paphnutius importuning with-the prayers — God

καὶ τὴν νηστείαν παρατείνων πάλιν ἠξίου δηλωθῆναι αὐτῷ,
and the fast prolonging again he-asked to-be-shown to-him
τίνος ἂν εἴη ὅμοιος. ἔφη δὲ πάλιν ἡ θεία φωνὴ πρὸς
to-whom — he-might-be like said and again the divine voice to
αὐτόν· "ἐμπόρῳ ἔοικας ζητοῦντι καλοὺς μαργαρίτας. ἀλλὰ
him (a)-merchant you-are-like seeking fine pearls but
ἀνάστηθι λοιπὸν καὶ μὴ μέλλε. προαπαντήσει γάρ σοι
rise now and not delay will-come-to-meet for you
ὁ ἀνήρ, ᾧ ἀπεικάσθης". κατελθὼν δὲ ἐκεῖνος εἶδεν
the man to-whom you-were-likened having-gone-down and he saw
ἄνδρα τινὰ ἔμπορον Ἀλεξανδρέα εὐλαβῆ καὶ φιλόχριστον
man a-certain merchant Alexandrian devout and Christ-loving
δύο μυριάδας χρυσίνων πραγματευόμενον, μετὰ τριῶν
two myriads of-gold-pieces trading with three
πλοίων ἐκ τῆς ἄνω Θηβαίδος κατιόντα πᾶσαν τὴν οὐσίαν
ships from the upper Thebaid coming-down all the property
αὐτοῦ καὶ ἐμπορίαν τοῖς πτωχοῖς καὶ μοναχοῖς διανείμαντα.
his and merchandise to-the poor and monks having-distributed
ὃς μετὰ τῶν αὐτοῦ παίδων δέκα σάκκους ὀσπρίων
who with the his servants ten sacks of-pulse
ἀνέφερε πρὸς αὐτόν· "καὶ τί ταῦτα ὤφειλεν"; ἔφη πρὸς
carried-up to him and what these were-meant said to
αὐτὸν ὁ Παφνούτιος. ὁ δὲ εἶπε πρὸς αὐτόν· "οἱ καρποὶ
him — Paphnutius he and said to him the fruits
τῆς ἐμῆς ἐμπορίας εἰσὶν εἰς δικαίων ἀνάπαυσιν τῷ θεῷ
of-the my trade are for of-righteous refreshment — to-God
προσφερόμενοι". "τί δῆτα"; φησὶ πρὸς αὐτὸν Παφνούτιος,
being-offered why then says to him Paphnutius
"καὶ σὺ τοῦ ὀνόματος οὐκ ἀπολαύεις τοῦ ἡμετέρου"; ὁ δὲ
also you of-the name not enjoy the our he and
ὡς ἐπὶ τοῦτο σπεύδειν πρὸς αὐτὸν ὡμολόγει, ἀπεκρίνατο
when for this to-strive to him confessed he-answered

πρὸς αὐτόν· “μέχρι τίνος οὖν τὰ γήινα πραγματεύῃ
to him until what so the earthly(-things) do-you-trade
μὴ τῶν οὐρανίων ἐμπορευμάτων ἁπτόμενος; ἀλλὰ ταῦτα
not the heavenly merchandise touching but these
μὲν ἑτέροις ἀφεῖναι μέλλεις, σὺ δὲ τῶν καιριωτάτων
indeed to-others to-leave you-are-to you and to-the most-timely(-things)
ἐχόμενος ἀκολούθησον τῷ σωτῆρι ὀλίγον ὕστερον πρὸς
holding follow the savior (a)-little later to
αὐτὸν ἀφιξόμενος. ὁ δὲ μηδὲν ὑπερθέμενος τοῖς ἑαυτοῦ
him going-to-come he and not-at-all having-delayed the his-own
παισὶν ἐνετέλλετο τὰ λοιπὰ τῶν πραγμάτων αὐτοῦ τοῖς
servants charged the rest of-the goods his to-the
πτωχοῖς διανεῖμαι. αὐτὸς δὲ ἀνελθὼν εἰς τὸ ὄρος καὶ
poor to-distribute he and having-gone-up to the mountain and
ἑαυτὸν ἐν ἐκείνῳ τῷ τόπῳ καθείρξας, ἔνθα οἱ πρὸ αὐτοῦ
himself in that the place having-shut-up where the before him
δύο ἐτελειώθησαν, προσεκαρτέρει τῷ θεῷ προσευχόμενος.
two were-perfected persevered — to-God praying
ὀλίγου δὲ διιππεύσαντος χρόνου καταλιπὼν τὸ σῶμα
little and having-galloped-by time having-left the body
οὐρανοπολίτης ἐγένετο.
(a)-citizen-of-heaven became
Ὡς δὲ καὶ τοῦτον προπέμψας λοιπὸν καὶ αὐτὸς τὴν ψυχὴν
when and also him having-sent-ahead then also he the soul
ἀπελέγετο μηκέτι πλέον ἀσκῆσαι δυνάμενος, ἄγγελος
was-giving-up no-longer more to-practice-discipline being-able (an)-angel
παραστὰς εἶπεν αὐτῷ· “δεῦρο δὴ λοιπόν, ὦ μακάριε,
having-stood-by said to-him come indeed now O blessed(-one)
καὶ σὺ εἰς τὰς τοῦ θεοῦ αἰωνίους σκηνάς. ἥκασι γὰρ οἱ
also you into the — of-God eternal tents have-come for the
προφῆται εἰς τοὺς ἑαυτῶν χορούς σε ὑποδεξόμενοι. τοῦτο
prophets into the their-own choirs you going-to-receive this

δέ σοι τὸ πρὶν οὐκ ἐξέφηνα, ἵνα μὴ ἐπαρθεὶς ζημιωθῇς
but to-you the before not I-revealed that not having-been-elated you-lose
τῆς ἀξίας". ἐπιζήσας δὲ μίαν ἡμέραν μόνην πρεσβυτέρων
the worth having-lived-on and one day only presbyters
τινῶν κατὰ ἀποκάλυψιν πρὸς αὐτὸν ἐληλυθότων πάντα
some by revelation to him having-come all
αὐτοῖς ὑφηγησάμενος παρέδωκε τὴν ψυχήν. ἐμφανῶς δὲ
to-them having-related he-gave-up the soul visibly and
αὐτὸν οἱ πρεσβύτεροι ἐθεάσαντο σὺν χοροῖς δικαίων καὶ
him the presbyters beheld with choirs of-righteous and
ἀγγέλων ἀναλαμβανόμενον ὑμνούντων τὸν θεόν.
angels being-taken-up hymning — God
Εἴδομεν δὲ κατὰ τὴν Θηβαΐδα ὄρος ὑψηλὸν τῷ ποταμῷ 17
we-saw and in — (the)-Thebaid (a)-mountain high the river
ἐπικείμενον φοβερὸν ἄγαν καὶ κρημνῶδες καὶ μοναχοὺς
overhanging fearful exceedingly and precipitous and monks
ἐκεῖ οἰκοῦντας ἐν τοῖς σπηλαίοις. πατὴρ δὲ ἦν αὐτῶν,
there dwelling in the caves (the)-father and was their
ὀνόματι Πιτυρίων, εἷς τῶν μαθητῶν Ἀντωνίου γενόμενος καὶ
by-name Pityrion one of-the disciples of-Antony having-been and
τρίτος τὸν τόπον ἐκεῖνον διαδεξάμενος. ὃς πολλὰς καὶ ἄλλας
third the place that having-succeeded-to who many also other
δυνάμεις ἐπιτελῶν τὴν τῶν πνευμάτων ἐλασίαν ἐναργῶς
powers performing the of-the spirits expulsion manifestly
ἐποιεῖτο. διαδεξάμενος γὰρ Ἀντώνιον καὶ τὸν τούτου μαθητὴν
made having-succeeded for Antony and the his disciple
Ἀμμωνᾶν εἰκότως καὶ τὴν κληρονομίαν τῶν χαρισμάτων
Ammonas fittingly also the inheritance of-the gifts
ὑπεδέξατο. ὃς πολλοὺς μὲν καὶ ἄλλους πρὸς ἡμᾶς ἐποιήσατο
received who many indeed also other to us made
λόγους οὐ μήν, ἀλλὰ καὶ περὶ τῆς τῶν πνευμάτων διακρίσεως
words not truly but also about the of-the spirits discernment

ἰσχυρῶς διελέξατο λέγων, δαίμονας εἶναί τινας τοὺς τοῖς
strongly he-discoursed saying demons to-be some the(-ones) the
πάθεσιν ἀκολουθοῦντας καὶ τὰ πάθη ἡμῶν πολλάκις ἐπὶ
passions following and the passions our often to
τὸ κακὸν μετατρέποντας· "ὅστις οὖν, ὦ τέκνα, φησὶ πρὸς
the evil turning whoever so O children he-says to
ἡμᾶς, βούλεται τοὺς δαίμονας ἀπελαύνειν, πρότερον τὰ πάθη
us wishes the demons to-drive-out first the passions
δουλώσηται. οἵου γὰρ ἂν πάθους τις περιγένηται, τούτου
let-him-enslave whatever for — passion anyone overcomes of-this
καὶ τὸν δαίμονα ἀπελαύνει. καὶ δεῖ κατὰ μικρὸν ὑμᾶς νικῆσαι
also the demon he-drives-out and must by little you to-conquer
τὰ πάθη, ἵνα τούτων τοὺς δαίμονας ἀπελάσητε. ἕπεται
the passions that of-these the demons you-drive-out follows
δαίμων τῇ γαστριμαργίᾳ. ἐὰν οὖν τῆς γαστριμαργίας
(a)-demon on-the gluttony if so the gluttony
κρατήσητε, ἀπελαύνετε καὶ ταύτης τὸν δαίμονα".
you-master you-drive-out also of-this the demon
ἤσθιε δὲ ὁ ἀνὴρ δὶς τῆς ἑβδομάδος ἔν τε τῇ κυριακῇ
ate and the man twice in-the week on both the Lord's-day
καὶ τῇ πέμπτῃ ζωμὸν ἀλεύρου διαιτώμενος, μηδενὸς
and the Thursday (a)-broth of-meal living-on of-nothing
ἑτέρου μεταλαμβάνειν δυνάμενος διὰ τὸ τὴν ἕξιν αὐτοῦ
other to-partake being-able because-of the the habit his
οὕτω τετυπωκέναι.
so to-have-shaped(-him)

18 Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτερον Εὐλόγιον ὀνόματι. ὃς ἐν
we-saw and also another presbyter Eulogius by-name who in
τῷ προσφέρειν τῷ θεῷ τὰ δῶρα τοσαύτην χάριν ἐλάμβανε
the to-offer — to-God the gifts such grace received
γνώσεως, ὡς ἑκάστου τῶν προσιόντων μοναχῶν τὰς γνώμας
of-knowledge that of-each of-the approaching monks the minds

εἰδέναι. οὗτος ἰδὼν πολλάκις μέλλοντας μοναχούς τινας
to-know he having-seen often being-about monks some
προσιέναι τῷ θυσιαστηρίῳ ἐπέσχεν αὐτοὺς λέγων· "πῶς
to-approach the altar stopped them saying how
κατατολμᾶτε τοῖς ἁγίοις προσελθεῖν μυστηρίοις πονηρὰς
do-you-dare to-the holy to-approach mysteries evil
τὰς διανοίας ἔχοντες; καὶ σὺ μὲν ἐλογίσω τῇ νυκτὶ
the thoughts having and you indeed reckoned in-the night
ταύτῃ τὴν ἀπρεπῆ τῆς πορνείας ἐνθύμησιν". "ὁ δὲ ἕτερος,
this the unseemly of-the fornication thought the and other
φησίν, ἐλογίσατο ἐν τῇ ἑαυτοῦ διανοίᾳ οὐδὲν διαφέρειν
he-says reckoned in the his-own mind nothing to-matter
κἂν ἁμαρτωλόν, κἂν δίκαιον προσελθεῖν τῇ χάριτι τοῦ
whether sinful or righteous to-approach the grace —
θεοῦ. ὁ δὲ ἄλλος διεκρίθη πρὸς τὸ δῶρον, ἄρα ἁγιάσει
of-God the and other doubted about the gift whether it-will-sanctify
με προσελθόντα. ὑποχωρήσατε οὖν μακρὸν τῶν ἁγίων
me having-approached withdraw so far from-the holy
μυστηρίων καὶ μετανοήσατε ἐκ ψυχῆς, ἵνα ἄφεσις ὑμῖν
mysteries and repent from (the)-soul that forgiveness to-you
γένηται τῶν ἁμαρτιῶν καὶ ἄξιοι γένησθε τῆς τοῦ Χριστοῦ
may-be of-the sins and worthy you-become of-the — of-Christ
κοινωνίας. ἐὰν γὰρ μὴ πρῶτον τὰς ἐνθυμήσεις καθάρητε,
communion if for not first the thoughts you-cleanse
οὐ μὴ δυνήσεσθε προσελθεῖν τῇ χάριτι τοῦ Χριστοῦ".
not — you-will-be-able to-approach the grace — of-Christ
Εἴδομεν δὲ κατὰ τὴν Θηβαΐδα μονήν τινα Ἰσιδώρου 19
we-saw and in — (the)-Thebaid monastery a-certain of-Isidore
τινὸς μεγάλου τείχει πλινθίνῳ ὀχυρωμένην χιλίους
a-certain great with-(a)-wall of-brick fortified thousand
μοναχοὺς ἔνδον ἔχουσαν. εἶχε δὲ ἔνδον καὶ φρέατα
monks within having it-had and within both wells

καὶ παραδείσους καὶ ὅσα πρὸς τὴν χρείαν ἐστὶν
and gardens and as-much-as for the need is
ἀναγκαῖα μηδενὸς ἔξω ποτὲ τῶν μοναχῶν ἐξιόντος· ἀλλὰ
necessary no-one outside ever of-the monks going-out but
πρεσβύτερος ἦν ὁ θυρωρὸς μηδένα συγχωρῶν ἐξιέναι, μηδὲ
(a)-presbyter was the doorkeeper no-one allowing to-go-out nor
εἰσιέναι ἄλλον, πλὴν εἴ τις ἐβούλετο ἄχρι τελευτῆς ἐκεῖ
to-go-in another except if anyone wished until death there
παραμένειν μηδαμοῦ προερχόμενος. ὃς δὴ καὶ πρὸς τὸν
to-remain nowhere going-out who indeed also at the
πυλῶνα εἰς μικρὸν καταγώγιον τοὺς ἐρχομένους ἐξένιζε
gate in (a)-small lodging those coming entertained
καὶ διδοὺς εὐλογίας πρωὶ ἐν εἰρήνῃ προέπεμπεν. δύο
and giving blessings in-the-morning in peace sent-off two
δὲ ἐξ αὐτῶν πρεσβύτεροι μόνοι τὰ ἔργα τῶν ἀδελφῶν
and of them presbyters alone the works of-the brothers
διοικοῦντες ἐξήεσαν καὶ τὰς ἀναγκαίας χρείας αὐτοῖς
managing went-out and the necessary needs for-them
ἀπεκόμιζον. ἔλεγε δὲ ἡμῖν ὁ τῷ πυλῶνι προσκαρτερῶν
brought said and to-us the at-the gate attending
πρεσβύτερος τοιούτους εἶναι τοὺς ἔνδον ἁγίους, ὡς
presbyter such to-be the within saints that
δύνασθαι πάντας σημεῖα ἐπιτελεῖν, καὶ μηδένα ἐξ αὐτῶν
to-be-able all signs to-perform and no-one of them
ἐμπεσεῖν εἰς νόσον πρὸ τῆς τελευτῆς· ἀλλ᾽ ὅταν ἑκάστου ἡ
to-fall into sickness before the death but when of-each the
μετάθεσις ἤρχετο προμηνύων ἅπασι κατακλιθεὶς ἐκοιμᾶτο.
removal came foretelling(-it) to-all having-lain-down he-fell-asleep
20 Εἴδομεν δὲ ἐν τοῖς μέρεσι τοῦ Ἀρσινοίτου πρεσβύτερόν
we-saw and in the parts — of-(the)-Arsinoite presbyter
τινα ὀνόματι Σαραπίωνα πατέρα πολλῶν μοναστηρίων
a-certain by-name Serapion father of-many monasteries

καὶ ἡγούμενον πολλῆς ἀδελφότητος, ὡς μιᾶς μυριάδος
and leading (a)-large brotherhood as one myriad
ὄντων τὸν ἀριθμόν, πολλήν τε διὰ τῆς ἀδελφότητος
being the number much and through the brotherhood
ἐκτελοῦντα οἰκονομίαν, πάντων ὁμοῦ ἐν καιρῷ θέρους
carrying-out management all together in (the)-time of-harvest
συγκομιζόντων τοὺς ἑαυτῶν καρποὺς πρὸς αὐτόν, οὓς
gathering the their-own fruits to him which
ἐπὶ μισθῷ θέρους ἐκομίζοντο ἕκαστος ἐνιαυσίου· σίτου
for wage of-harvest they-received each yearly of-grain
ἀρτάβας δεκαδύο ὡς τεσσαράκοντα τοὺς παρ' ἡμῖν
artabas twelve as forty the(-ones) among us
μοδίους λεγομένους· καὶ ταῦτα εἰς διακονίαν πτωχῶν αὐτοῦ
measures called and these for service of-poor him
χορηγοῦντος, ὡς μηδένα πένεσθαι λοιπὸν ἐν τῇ περιχώρῳ,
supplying so-that no-one to-be-poor any-longer in the district
ἀλλὰ καὶ τοῖς εἰς Ἀλεξάνδρειαν πτωχοῖς διαπέμπεσθαι.
but also to-the in Alexandria poor to-be-sent
οὐ μὴν οὐδὲ οἱ προρρηθέντες πατέρες κατὰ πᾶσαν τὴν
not truly nor the aforesaid fathers in all —
Αἴγυπτον ἠμέλησάν ποτε ταύτης τῆς διοικήσεως, ἀλλ' ἐκ
Egypt neglected ever this the administration but from
τῶν καμάτων τῆς ἀδελφότητος μεστὰ πλοῖα σίτου καὶ
the labors of-the brotherhood full ships of-grain and
ἀμφιάσεως εἰς Ἀλεξάνδρειαν τοῖς πτωχοῖς ἀποστέλλουσι,
of-clothing to Alexandria to-the poor send
διὰ τὸ σπανίους εἶναι παρ' αὐτοῖς τοὺς χρείαν ἔχοντας.
because-of the rare to-be among them those need having
Εἶδον δὲ καὶ εἰς τὴν περίχωρον Βαβυλῶνος καὶ Μέμφεως
I-saw and also in the district of-Babylon and of-Memphis
πατέρας πολλοὺς καὶ μεγάλους καὶ πλῆθος μοναχῶν
fathers many and great and (a)-multitude of-monks

ἄπειρον παντοίαις ἀρεταῖς κεκοσμημένων. εἶδον δὲ καὶ
countless with-all-kinds-of virtues adorned I-saw and also
τοὺς θησαυροὺς τοῦ Ἰωσήφ, ἔνθα τὸν σῖτον κατὰ τὸν
the granaries — of-Joseph where the grain in the
καιρὸν ἐκεῖνον συνήγαγεν.
time that he-gathered

VIII · APOLLONIUS AND THE MONKS OF NITRIA

Apollonius, a deacon in prison, converts the flute player Philemon, who mocked him, and both are thrown into the fire, which a cloud puts out; the judge and the soldiers believe, and the prefect drowns them all. Dioscorus warns his monks against communion after a night's fantasy. At Nitria the anchorites wash the travelers' feet and live in silence far apart. Ammonius gives away his cells, Didymus kills scorpions with his feet, Cronides lives to a great age, three learned brothers cut off their ears to escape the episcopate, and Evagrius warns the travelers against drinking their fill of water. Macarius sees Antony's palm leaves wither and visits the garden of Jannes and Jambres.

21 Γέγονε δέ τις κατὰ τὴν Θηβαΐδα μοναχός, ὀνόματι
there-was and a-certain in — (the)-Thebaid monk by-name
Ἀπολλώνιος. οὗτος πλείστας δυνάμεις τῆς πολιτείας αὐτοῦ
Apollonius he very-many powers of-the way-of-life his
ἐπεδείξατο. ἦν δὲ καὶ τοῦ ὀνόματος τῆς διακονίας
displayed he-was and also of-the name of-the diaconate
ἠξιωμένος, ὑπερβάλλων δὲ πάσαις ταῖς ἀρεταῖς τοὺς
deemed-worthy surpassing and in-all the virtues those
πώποτε εὐδοκιμήσαντας. οὗτος ἐν τῷ καιρῷ τοῦ διωγμοῦ
ever having-been-esteemed he in the time of-the persecution
παραθαρσύνων τοὺς τοῦ Χριστοῦ ὁμολογητὰς πολλοὺς
encouraging the — of-Christ confessors many
μάρτυρας ἀπετέλεσε· καὶ αὐτὸς δὲ συλληφθεὶς ἐν τῇ εἱρκτῇ
martyrs made and he too having-been-arrested in the prison

ἐφυλάττετο. πρὸς ὃν ἤρχοντο τῶν Ἑλλήνων οἱ φαυλότεροι
was-kept to whom came of-the pagans the baser(-ones)
καὶ λόγους αὐτῷ παροξυσμοῦ καὶ βλασφημίας προσῆγον.
and words to-him of-provocation and blasphemy brought
Ἦν δέ τις ἐξ αὐτῶν χοραύλης, ἀνὴρ διαβόητος ἐν τοῖς
there-was and one of them (a)-flute-player (a)-man notorious in the
ἀτοπήμασιν, ὃς προσελθὼν ὕβριζεν αὐτόν, ἀνόσιον λέγων
misdeeds who having-approached insulted him unholy calling(-him)
καὶ ἐπιθέτην καὶ πλᾶνον καὶ παρὰ πάντας τοὺς ἀνθρώπους
and impostor and deceiver and beyond all the men
μισούμενον καὶ ὀφείλοντα θᾶττον ἀποθανεῖν. πρὸς ὃν φησὶν
hated and owing sooner to-die to whom says
ὁ Ἀπολλώνιος· "ἐλεήσαι σε κύριος, ἄνθρωπε, καὶ μηδέν
— Apollonius may-have-mercy-on you (the)-Lord man and nothing
σοι τῶν παρά σου εἰρημένων εἰς ἁμαρτίαν λογίσηται".
to-you of-the(-things) by you said for sin may-be-reckon
ταῦτα δὲ ἀκούσας ὁ χοραύλης ἐκεῖνος, Φιλήμων ὀνόματι,
these and having-heard the flute-player that Philemon by-name
ἐδάκνετο ταῖς φρεσὶν ὑπὸ τῶν λόγων τοῦ ἀνδρὸς κατανυγείς.
was-stung in-the heart by the words of-the man pierced
ὁρμήσας δὲ εὐθὺς ἐπὶ τὸ βῆμα τῷ δικαστῇ παρέστη
having-rushed and at-once to the tribunal before-the judge stood
καὶ δὴ φησὶ πρὸς αὐτὸν ἐπὶ τοῦ δήμου· "ἄδικα
and indeed says to him before the people unjust(-things)
πράττεις, ὦ δικαστά, θεοφιλεῖς καὶ ἀναιτίους ἄνδρας
you-do O judge God-loving and blameless men
κολάζων. οὐδὲν γὰρ φαῦλον οἱ Χριστιανοὶ ποιοῦσιν οὐδὲ
punishing nothing for base the Christians do nor
λέγουσιν, ἀλλὰ καὶ τοὺς ἐχθροὺς εὐλογοῦσιν". ὁ δὲ ταῦτα
say but even the enemies they-bless he and these
αὐτοῦ λέγοντος τὰ πρῶτα μὲν ᾤετο αὐτὸν εἰρωνεύεσθαι
him saying the first indeed thought him to-be-mocking

καὶ γελοιάζειν. ὡς δὲ ἐπιμένοντα εἶδε· "μέμηνας", φησίν,
and to-jest when but persisting he-saw you-are-mad he-says
"ὦ ἄνθρωπε", πρὸς αὐτόν, "καὶ ἐκ φρενῶν γέγονας
O man to him and out-of (your)-wits you-have-gone
ἐξάπινα". ὁ δέ· "οὐ μαίνομαι", φησίν, "ἀδικώτατε
suddenly he and not I-am-mad he-says most-unjust
δικαστά. Χριστιανὸς γὰρ εἰμί". ὁ δὲ κολακείαις ἅμα
judge (a)-Christian for I-am he and with-flatteries together-with
τῷ ὄχλῳ πείθειν αὐτὸν ἐπειρᾶτο. ὡς δὲ ἀμετάθετον εἶδε,
the crowd to-persuade him tried when and unchangeable he-saw
παντοίας βασάνους αὐτῷ προσῆγεν. τὸν δὲ Ἀπολλώνιον
all-kinds-of tortures to-him applied — and Apollonius
ἀνάρπαστον ποιησάμενος καὶ πολλαῖς αἰκίαις περιβαλών,
seized having-made and with-many outrages having-assailed
ὡς πλᾶνον αὐτὸν ἐβασάνιζεν. ὁ δὲ Ἀπολλώνιος πρὸς
as (a)-deceiver him he-tortured — but Apollonius to
αὐτὸν ἔφη· "εὐξαίμην ἂν καὶ σέ, δικαστά, καὶ πάντας
him said I-would-pray — both you judge and all
τοὺς παρόντας ταύτῃ τῇ πλάνῃ μου ἐξακολουθῆσαι".
those present this the error my to-follow
ὁ δὲ ὡς ταῦτα εἶδεν λέγοντας ἀμφοτέρους πυρὶ
he and when these saw saying both to-fire
παραδοθῆναι προστάσσει ἐπ' ὄψεσι παντὸς τοῦ πλήθους.
to-be-handed-over orders before (the)-eyes of-all the multitude
ὡς δὲ ἐν τῇ φλογὶ ἦσαν παρόντος τοῦ δικαστοῦ,
when and in the flame they-were being-present the judge
φωνὴν ἀφίησι πρὸς τὸν θεὸν ὁ μακάριος Ἀπολλώνιος
(a)-voice lets-out to — God the blessed Apollonius
εἰς ἐπήκοον παντὸς τοῦ δήμου καὶ τοῦ δικαστοῦ· "μὴ
in hearing of-all the people and the judge not
παραδῷς, δέσποτα, τοῖς θηρίοις ψυχὰς ἐξομολογουμένας
hand-over master to-the beasts souls confessing

σοι, ἀλλὰ σαυτὸν ἐμφανῶς ἡμῖν ἐπίδειξον". καὶ δὴ νεφέλη
to-you but yourself manifestly to-us show and indeed (a)-cloud
δροσοειδὴς καὶ φωτεινὴ ἐπελθοῦσα ἐκάλυψε τοὺς ἄνδρας τὸ
dewy and bright having-come covered the men the
πῦρ ἀποσβέσασα. θαυμάσαντες δὲ οἱ δῆμοι καὶ ὁ δικαστὴς
fire having-quenched having-wondered and the people and the judge
ἐβόων· "εἷς ὁ θεὸς τῶν Χριστιανῶν". ἀναγγέλλει δέ
shouted one — God of-the Christians reports and
τις ταῦτα τῶν κακούργων τῷ τῆς Ἀλεξανδρείας ἐπάρχῳ,
one these of-the criminals to-the — of-Alexandria prefect
ὃς ὠμούς τινας καὶ ἀγρίους προτίκτορας καὶ ταξεώτας
who cruel some and savage guardsmen and officers
ἐπιλεξάμενος ἐξαπέστειλε πρὸς τὸ δεσμίους πάντας ἀχθῆναι
having-chosen sent-off for the bound all to-be-brought
τοὺς περὶ τὸν δικαστὴν καὶ Φιλήμονα. ἤγετο οὖν σὺν
those about the judge and Philemon was-led so with
αὐτοῖς ὁ Ἀπολλώνιος καὶ ἄλλοι τινὲς ὁμολογήσαντες.
them — Apollonius and others some having-confessed
πορευομένων δὲ πάντων κατὰ τὴν ὁδὸν ἐπῆλθε χάρις
traveling and all along the road came grace
ἐπ' αὐτὸν καὶ ἤρξατο διδάσκειν τοὺς στρατιώτας. ὡς
upon him and he-began to-teach the soldiers when
δὲ καὶ αὐτοὶ κατανυγέντες ἐπίστευσαν τῷ σωτῆρι,
and also they having-been-pierced believed in-the savior
πάντες ὁμοθυμαδὸν δέσμιοι ἔστησαν. οὓς ἅπαντας ὁ
all with-one-accord bound stood whom all the
ἔπαρχος θεασάμενος, ὡς εἶδεν ἀμεταθέτους τῆς πίστεως,
prefect having-beheld when he-saw unchangeable in-the faith
βυθῷ τῆς θαλάσσης κελεύει παραδοθῆναι. τοῦτο δὲ
to-(the)-depth of-the sea commands to-be-handed-over this and
σύμβολον αὐτοῖς ἐγένετο τοῦ βαπτίσματος. εὑρόντες δὲ
(a)-sign to-them became of-the baptism having-found and

αὐτοὺς οἱ οἰκεῖοι πρὸς τὰς ὄχθας ἐκρεριμμένους, πᾶσιν
them the kinsmen at the banks cast-up for-all
ὁμοῦ τέμενος ἐγκατεσκεύασαν, ἔνθα δυνάμεις πολλαὶ
together (a)-shrine built where powers many
νῦν ἐπιτελοῦνται. τοσαύτη γάρ τις χάρις γέγονε τοῦ
now are-performed so-great for some grace was of-the
ἀνδρός, ὥστε καὶ περὶ ὧν ηὔξατο, εὐθὺς εἰσηκούσθη τοῦ
man so-that even about what he-prayed at-once he-was-heard the
σωτῆρος αὐτὸν οὕτω τιμήσαντος. ὃν καὶ ἡμεῖς ἐν τῷ
savior him so having-honored whom also we in the
μαρτυρίῳ εὐξάμενοι ἐθεασάμεθα ἅμα τοῖς σὺν αὐτῷ
shrine having-prayed beheld together-with those with him
μαρτυρήσασι, καὶ προσκυνήσαντες τῷ θεῷ ἠσπασάμεθα
having-been-martyred and having-worshiped — God we-embraced
αὐτῶν τὰ σκηνώματα ἐν τῇ Θηβαίδι.
their the remains in — (the)-Thebaid

22 Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτερον ἐν Θηβαίδι, Διόσκορον
we-saw and also another presbyter in (the)-Thebaid Dioscorus
ὀνόματι, πατέρα μοναχῶν ἑκατόν, ὃς μέλλοντας αὐτοὺς
by-name father of-monks hundred who being-about them
προσελθεῖν τῇ χάριτι τοῦ θεοῦ ἔλεγε πρὸς αὐτούς·
to-approach the grace — of-God said to them
"ὁρᾶτε μή τις ἐν φαντασίᾳ γυναικὸς γενόμενος ἐν
see lest anyone in fantasy of-(a)-woman having-been in
νυκτὶ τολμήσῃ προσελθεῖν τοῖς ἁγίοις μυστηρίοις· μή
(the)-night dare to-approach the holy mysteries lest
τις ἐξ ὑμῶν φανταζόμενος ἐνυπνιασθῇ. αἱ γὰρ ἄνευ
anyone of you fantasizing have-a-dream the for without
τῶν φαντασιῶν γονορροίαι αὐτομάτως γινόμεναι, οὐκ
the fantasies emissions spontaneously occurring not
ἐκ προαιρέσεως ἑκάστου, ἀλλ' ἀβουλήτως ἐγγίνονται·
from choice of-each but involuntarily occur

ἐκ φύσεως γὰρ προέρχονται καὶ ἐκ περιουσίας ὕλης
from nature for they-proceed and from excess of-matter
ἐκκρίνονται. διὸ οὐδὲ ὑπεύθυνοι εἰσὶν τῇ ἁμαρτίᾳ.
are-discharged wherefore not-even liable are to-the sin
αἱ δὲ φαντασίαι ἐκ προαιρέσεως ἔρχονται καὶ τῆς κακῆς
the but fantasies from choice come and of-the evil
γνώμης ἐστὶ τεκμήριον. δεῖ δὲ τὸν μοναχόν, φησίν, καὶ
intent is (a)-proof must and the monk he-says even
τῆς φύσεως ὑπερβαίνειν τὸν νόμον καὶ μηδὲ εἴς τινα
of-the nature to-transcend the law and not-even in any
μικρὸν μολυσμὸν σαρκὸς εὑρεθῆναι, ἀλλὰ τήκειν τὴν
small defilement of-flesh to-be-found but to-waste the
σάρκα καὶ μὴ συγχωρεῖν ἐν αὐτῇ περισσεύειν τὴν ὕλην.
flesh and not to-allow in it to-abound the matter
πειρατέον οὖν κενῶσαι τὴν ὕλην τῇ τῆς νηστείας ἱκανῇ
one-must-try so to-empty the matter by-the of-the fasting sufficient
παρατάσει· εἰ δὲ μή, καὶ πρὸς τὰς ὀρέξεις ἡμᾶς ἐρεθίζει.
prolonging if but not also to the appetites us it-provokes
οὐ δεῖ δὲ τὸν μοναχὸν τῶν ὀρέξεων ὅλως ἐφάψασθαι·
not must and the monk the appetites at-all to-touch
ἐπεὶ ἐν τίνι διοίσει τῶν κοσμικῶν, οὓς πολλάκις
since in what will-be-differ from-the worldlings whom often
ὁρῶμεν καὶ τῶν τέρψεων ἀπεχομένους δι' ὑγίειαν
we-see even from-the pleasures abstaining for health
σώματος ἢ δι' ἄλλας τινὰς οὐκ ἀλόγους αἰτίας; πόσῳ
of-body or for other some not unreasonable causes how-much
μᾶλλον ἐπιμελητέον τῷ μοναχῷ τῆς ψυχῆς τὴν ὑγίειαν
more must-care by-the monk of-the soul the health
καὶ τοῦ νοῦ καὶ τοῦ πνεύματος;"
and of-the mind and of-the spirit

23 Κατήχθημεν δὲ καὶ εἰς Νιτρίαν, ἔνθα πολλοὺς καὶ
we-came-down and also to Nitria where many and
μεγάλους ἀναχωρητὰς ἑωράκαμεν, τοῦτο μὲν ἐγχωρίους,
great anchorites we-have-seen this indeed natives
τοῦτο δὲ καὶ ξένους, ἀλλήλους ταῖς ἀρεταῖς ὑπερβάλλοντας
this and also strangers one-another in-the virtues surpassing
καὶ φιλονικώτερον πρὸς τὴν ἄσκησιν διακειμένους, πᾶσάν
and more-competitively toward the discipline disposed every
τε ἀρετὴν ἐνδεικνυμένους καὶ ἀγωνιζομένους ἐν τῇ πολιτείᾳ
and virtue displaying and striving in the way-of-life
ἀλλήλους ὑπερβάλλειν. καὶ οἱ μὲν αὐτῶν περὶ τὴν
one-another to-surpass and some indeed of-them about the
θεωρίαν, οἱ δὲ περὶ τὴν πρακτικὴν ἠσχολοῦντο. ἰδόντες
contemplation others and about the practical(-life) were-busied having-seen
γὰρ ἡμᾶς τινες ἐξ αὐτῶν πόρρωθεν ἐρχομένους διὰ τῆς
for us some of them from-afar coming through the
ἐρήμου, οἱ μὲν μετὰ ὕδατος ἡμῖν προυπήντησαν, οἱ
desert some indeed with water us came-to-meet others
δὲ τοὺς πόδας ἡμῶν ἔνιπτον, οἱ δὲ τὰ ἱμάτια ἔπλυνον·
and the feet our washed others and the garments laundered
οἱ δὲ ἐπὶ τροφὴν παρεκάλουν, ἄλλοι δὲ ἐπὶ τὴν τῶν
others and to food invited others and to the of-the
ἀρετῶν μάθησιν, ἄλλοι δὲ ἐπὶ τὴν θεωρίαν καὶ τὴν τοῦ
virtues learning others and to the contemplation and the —
θεοῦ γνῶσιν. καὶ ὅπερ ἕκαστος αὐτῶν ἠδύνατο, τοῦτο
of-God knowledge and what each of-them could in-this
ἔσπευδεν ἡμᾶς ὠφελεῖν. καὶ τί ἄν τις εἴποι πάσας
hastened us to-benefit and why — anyone should-tell all
αὐτῶν τὰς ἀρετάς, μηδὲν ἐπαξίως λέγειν δυνάμενος;
their the virtues nothing worthily to-say being-able

Ἔρημον οὖν οἰκοῦσι τόπον, καὶ τὰ κέλλια ἐκ διαστήματος
desert so they-inhabit (a)-place and the cells at (a)-distance
ἔχουσιν, ὡς μηδένα γνωρίζεσθαι πόρρωθεν ὑφ' ἑτέρου,
they-have so-that no-one to-be-recognized from-afar by another
μηδὲ ὁρᾶσθαι ταχέως, μηδὲ φωνῆς ἐπακούειν, ἀλλ' ἐν
nor to-be-seen readily nor (a)-voice to-hear but in
ἡσυχίᾳ πολλῇ διάγουσιν ἕκαστος καθ' ἑαυτὸν καθειργμένος·
stillness much they-live each by himself shut-in
μόνον δὲ ἐν σαββάτῳ καὶ κυριακῇ ἐν ταῖς ἐκκλησίαις
only and on Saturday and Lord's-day in the churches
συνάγονται καὶ ἀλλήλους ἀπολαμβάνουσιν. πολλοὶ δὲ
they-assemble and one-another receive many and
αὐτῶν πολλάκις καὶ τεταρταῖοι τεθνεῶτες ἐν τοῖς κελλίοις
of-them often even four-days dead in the cells
αὐτῶν εὑρίσκονται ἐκ τοῦ μὴ ὁρᾶν ἀλλήλους πλὴν ἐν
their are-found from the not to-see one-another except at
ταῖς συνάξεσιν. καὶ οἱ μὲν αὐτῶν ἀπὸ τριῶν σημείων
the synaxes and some indeed of-them from three miles
καὶ τεσσάρων εἰς τὴν σύναξιν ἔρχονται· τοσοῦτον μακρὰν
and four to the synaxis come so far
ἀπ' ἀλλήλων διεστήκασιν. ἀγάπην δὲ τοσαύτην ἔχουσι
from one-another they-stand-apart love but such they-have
πρὸς ἀλλήλους καὶ περὶ τὴν λοιπὴν ἀδελφότητα, ὡς
toward one-another and toward the rest brotherhood that
πολλοῖς βουληθεῖσι σὺν αὐτοῖς σωθῆναι ἕκαστον τὸ ἑαυτοῦ
to-many having-wished with them to-be-saved each the his-own
κέλλιον σπεύδειν αὐτοῖς εἰς ἀνάπαυσιν δοῦναι.
cell to-hasten to-them for rest to-give
Εἴδομεν δὲ καὶ πατέρα τινὰ τῶν ἐκεῖ, Ἀμμώνιον 24
we-saw and also father a-certain of-the(-ones) there Ammonius
ὀνόματι, ἐξαίρετα κέλλια ἔχοντα καὶ αὐλὴν καὶ φρέαρ
by-name choice cells having and (a)-court and (a)-well

καὶ τὰς λοιπὰς χρείας. ἐλθόντος δὲ πρὸς αὐτόν τινος
and the other needs having-come and to him a-certain
ἀδελφοῦ σωθῆναι σπεύδοντος καὶ λέγοντος αὐτῷ ἐπινοεῖν
brother to-be-saved hastening and telling him to-devise
αὐτῷ κέλλιον πρὸς οἴκησιν, εὐθὺς ἐξελθὼν παρήγγειλεν
for-him (a)-cell for dwelling at-once having-gone-out he-charged
αὐτῷ μὴ ἀναχωρεῖν τῶν κελλίων, ἄχρις ἂν εὕρῃ αὐτῷ
him not to-withdraw from-the cells until — he-find for-him
ἐπιτήδειον καταγώγιον. καὶ καταλιπὼν αὐτῷ πάντα ὅσα
(a)-suitable lodging and having-left to-him all as-much-as
εἶχε σὺν αὐτοῖς τοῖς κελλίοις, ἑαυτὸν εἰς μικρόν τι
he-had with themselves the cells himself into small a-certain
κέλλιον μακρὰν ἐκεῖθεν ἀπέκλεισεν. εἰ δὲ καὶ πλείονες
cell far from-there shut-in if and also more
ἦσαν οἱ συνερχόμενοι σωθῆναι θέλοντες, συνῆγε πᾶσαν
were those coming-together to-be-saved wishing he-gathered all
τὴν ἀδελφότητα, καὶ τοῦ μὲν πλίνθους ἐπιδιδόντος, τοῦ
the brotherhood and one indeed bricks supplying another
δὲ ὕδωρ, ἐν ἡμέρᾳ μιᾷ τὰ κέλλια ἀπεπληροῦντο. τοὺς δὲ
and water in day one the cells were-completed those and
μέλλοντας οἰκεῖν τὰ κέλλια ἐκάλουν εἰς τὴν ἐκκλησίαν
being-about to-inhabit the cells they-invited to the church
εἰς εὐωχίαν· καὶ ὡς ἔτι ἐκεῖνοι ηὐφραίνοντο, ἕκαστος ἐκ
for (a)-feast and while still they were-making-merry each from
τοῦ οἰκείου κελλίου γεμίσας ἑαυτοῦ τὴν μηλωτὴν ἢ τὴν
the own cell having-filled his-own the sheepskin or the
σπυρίδα ἄρτων καὶ τῶν λοιπῶν ἐπιτηδείων εἰς τὰ νέα
basket with-loaves and the other necessaries to the new
κέλλια ἀπέφερον, ἵνα μηδενὶ φανερὸν γένηται ἡ ἑκάστου
cells carried that to-no-one plain may-be the of-each

καρποφορία. ἐρχόμενοι δὲ εἰς ἑσπέραν οἱ μέλλοντες
fruit-bearing coming and at evening those being-about
οἰκεῖν τὰ κέλλια ηὕρισκον ἐξαίφνης πάντα τὰ ἐπιτήδεια.
to-inhabit the cells found suddenly all the necessaries
Πολλοί τε αὐτῶν οὔτε ἄρτον ἤσθιον οὔτε ὀπώρας, ἀλλὰ
many and of-them neither bread ate nor fruits but
πικρίδας μόνον. τινὲς δὲ αὐτῶν οὐδὲ ἐκάθευδον ὅλην
chicory only some and of-them not-even slept whole
τὴν νύκτα, ἀλλ' ἢ καθήμενοι ἢ ἑστῶτες ἄχρι πρωὶ
the night but either sitting or standing until morning
ἐκαρτέρουν προσευχόμενοι.
persevered praying
Εἴδομεν δὲ ἐκεῖ ἄνδρα, ὀνόματι Δίδυμον, πρεσβύτην 25
we-saw and there (a)-man by-name Didymus old
τῇ ἡλικίᾳ, ἀστεῖον τῇ ὁράσει, ὃς τοὺς σκορπίους
in-the age comely in-the appearance who the scorpions
καὶ κεράστας καὶ τὰς ἀσπίδας ποσὶν οἰκείοις ἀπέκτεινε,
and horned-vipers and the asps with-feet own killed
μηδενὸς ἑτέρου τολμῶντος τοῦτο ποιεῖν· ἀλλὰ καὶ πολλοὶ
no-one other daring this to-do but also many
ἕτεροι τῶν δοκούντων ὑπ' αὐτῶν ἀνῃρέθησαν τῶν
others of-those seeming(-to-dare) by them were-killed the
θηρίων μόνον ἁψάμενοι.
beasts only having-touched
Εἴδομεν καὶ ἕτερον πατέρα μοναχῶν, ὀνόματι Κρονίδην, ἐν 26
we-saw also another father of-monks by-name Cronides in
γήρει καλῷ προοδεύσαντα, ἕνα τῶν ἀρχαίων ἀνδρῶν σὺν
old-age fine advanced one of-the ancient men with
Ἀντωνίῳ γενομένων, ἑκατὸν δέκα ἐτῶν ὑπάρχοντα. ὃς πολλὰ
Antony having-been hundred ten of-years being who much
παρακαλέσας ἡμᾶς καὶ νουθετήσας, ἑαυτὸν ἐξηυτέλιζεν
having-exhorted us and having-admonished himself belittled

τοσαύτην ταπεινοφροσύνην μέχρι γήρως κεκτημένος. Εἴδομεν
such humility until old-age having-acquired we-saw
δὲ καί τινας τρεῖς ἀδελφοὺς λογίους πάνυ καὶ ἐναρέτους,
and also some three brothers learned very and virtuous
οἳ διὰ τὴν ἐνάρετον αὐτῶν πολιτείαν εἰς ἐπισκοπὴν
who because-of the virtuous their way-of-life for (the)-episcopate
κρατηθέντες διὰ πολλὴν εὐλάβειαν τὰ ἑαυτῶν ὠτία
seized out-of much piety the their-own ears
ἀπέτεμον, τολμηρῶς μὲν ἄγαν ποιήσαντες, ὅμως κατὰ
cut-off boldly indeed exceedingly having-done yet for
εὔλογόν τινα σκοπόν, ἵνα τοῦ λοιποῦ μηδεὶς αὐτοὺς ἐνοχλῇ.
reasonable some aim that for-the rest no-one them trouble

27 Εἴδομεν δὲ καὶ Εὐάγριον, ἄνδρα σοφὸν καὶ λόγιον, ὃς
we-saw and also Evagrius (a)-man wise and learned who
τῶν λογισμῶν ἱκανὴν εἶχε τὴν διάκρισιν ἐκ πείρας
of-the thoughts sufficient had the discernment from experience
τὸ πρᾶγμα παρειληφώς. ὃς πολλάκις κατελθὼν εἰς
the matter having-received who often having-gone-down to
Ἀλεξάνδρειαν τῶν Ἑλλήνων τοὺς φιλοσόφους ἐπεστόμιζεν.
Alexandria of-the pagans the philosophers silenced
οὗτος παρήγγειλε τοῖς μεθ' ἡμῶν ἀδελφοῖς, ὕδατος, μὴ
he charged the with us brothers with-water not
κορέννυσθε· "οἱ γὰρ δαίμονες, φησί, τοὺς ὑδροχόους τόπους
be-sated the for demons he-says the well-watered places
συνεχῶς ἐπιβαίνουσιν". ἄλλους τε πολλοὺς πρὸς ἡμᾶς περὶ
constantly frequent other and many to us about
ἀσκήσεως ἐποιήσατο λόγους ἐπιστηρίξας ἡμῶν τὰς ψυχάς.
discipline he-made words having-strengthened our the souls

28 Διηγοῦντο δὲ ἡμῖν πολλοὶ τῶν ἐκεῖ πατέρων Μακαρίου τὸν
related and to-us many of-the there fathers of-Macarius the
βίον τοῦ μαθητοῦ Ἀντωνίου πρὸ βραχέος χρόνου κομιδῇ
life of-the disciple of-Antony before short time quite

τελειωθέντος. ὃς πλείστας μὲν δυνάμεις, ὥσπερ Ἀντώνιος,
having-been-perfected who very-many indeed powers like Antony
διεπράξατο, ποιῶν ἰάσεις τε καὶ σημεῖα, ἃ οὐκ ἂν
accomplished doing healings both and signs which not —
φθάνοι τις ἅπαντα ἐξειπεῖν. ὀλίγα δὲ αὐτοῦ τινα
could-manage anyone all to-tell few and his some
μνημονεύσαντες τῶν κατορθωμάτων μετρίως δηλώσομεν.
having-recalled of-the achievements moderately we-will-show
Οὗτος θεασάμενός ποτε παρὰ τῷ μεγάλῳ πατρὶ Ἀντωνίῳ
he having-seen once with the great father Antony
βαία ἐκλεκτὰ αὐτὸν ἐργαζόμενον, ᾔτησε παρ' αὐτοῦ
palm-leaves choice him working asked from him
μίαν δεσμὴν τῶν βαίων. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος·
one bundle of-the palm-leaves said and to him — Antony
"γέγραπται· "οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου"".
it-is-written not you-shall-covet the(-things) of-the neighbor your
καὶ μόνον εἰπόντος εὐθέως τὰ βαία πάντα ὡς ὑπὸ
and only (him)-having-said at-once the palm-leaves all as by
πυρὸς ἐφρύγη. ὅπερ ἰδὼν ὁ Ἀντώνιος ἔφη τῷ Μακαρίῳ·
fire were-parched which having-seen — Antony said — to-Macarius
"ἰδοὺ ἀναπέπαυται τὸ πνεῦμα ἐπί σε, καὶ ἔσῃ μοι
behold has-rested the spirit upon you and you-will-be to-me
λοιπὸν τῶν ἐμῶν ἀρετῶν κληρονόμος". Ἐκεῖθεν πάλιν
henceforth of-the my virtues heir thereafter again
αὐτὸν ὁ διάβολος εὗρεν ἐν τῇ ἐρήμῳ κεκμηκότα λίαν τῷ
him the devil found in the desert worn-out very in-the
σώματι καὶ φησὶ πρὸς αὐτόν· "ἰδοὺ τὴν χάριν εἴληφας
body and says to him behold the grace you-have-received
Ἀντωνίου· τί δῆτα μὴ κέχρησαι τῷ ἀξιώματι καὶ αἰτεῖς
of-Antony why then not do-you-use the rank and ask
παρὰ θεοῦ βρώματα καὶ ἰσχὺν πρὸς τὴν ὁδοιπορίαν;" ὁ
from God foods and strength for the journey he

δὲ φησὶ πρὸς αὐτόν· "ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριός
and says to him strength my and song my the Lord
ἐστιν. σὺ δὲ οὐ μὴ ἐκπειράσῃς τὸν δοῦλον τοῦ θεοῦ."
is you but not — shall-tempt the servant — of-God
ποιεῖ οὖν φαντασίαν αὐτῷ ὁ διάβολος κάμηλον ἀχθοφόρον
makes so (an)-apparition for-him the devil (a)-camel burden-bearing
διὰ τῆς ἐρήμου πλαζομένην ἔχουσαν πάντα τὰ
through the desert wandering having all the(-things)
πρὸς τὴν χρείαν ἐπιτήδεια. ἥτις ἰδοῦσα τὸν Μακάριον
for the need suitable which having-seen — Macarius
ἔμπροσθεν αὐτοῦ ἐκάθισεν. ὁ δὲ ὑπολαβὼν αὐτὸ φάντασμα
before him sat-down he and having-supposed it (an)-apparition
εἶναι — ὅπερ καὶ ἦν—, ἔστη εἰς προσευχήν. ἡ δὲ εὐθὺς
to-be which also it-was stood in prayer it and at-once
εἰς τὴν γῆν κατεπόθη. Ἄλλοτε δὲ πολλὰ νηστεύσας καὶ
into the earth was-swallowed another-time and much having-fasted and
προσευξάμενος ᾐτήσατο παρὰ θεοῦ δειχθῆναι αὐτῷ τὸν
having-prayed he-asked from God to-be-shown to-him the
παράδεισον, ὃν ἐν τῇ ἐρήμῳ τῆς Αἰγύπτου Ἰαννὴς καὶ
paradise which in the desert — of-Egypt Jannes and
Ἰαμβρὴς ἐφύτευσαν ἀντίτυπον τοῦ ἀληθινοῦ παραδείσου
Jambres planted (a)-copy of-the true paradise
ποιῆσαι βουλόμενοι. πλαζόμενον οὖν αὐτὸν διὰ τῆς ἐρήμου
to-make wishing wandering so him through the desert
ἐπὶ τρισὶν ἑβδομάσι καὶ ἄσιτον διατελέσαντα καὶ ἤδη
for three weeks and without-food having-continued and already
λειποψυχήσαντα ἄγγελος τῷ τόπῳ ἐπέστησεν· ἦσαν δὲ
having-fainted (an)-angel at-the place set were and
δαίμονες πάντοθεν φυλάσσοντες τὰς εἰσόδους τοῦ παραδείσου
demons on-all-sides guarding the entrances of-the paradise
καὶ μὴ ἐῶντες αὐτὸν εἰσελθεῖν. ἦν δὲ παμμέγεθες τὸ
and not allowing him to-enter it-was and huge the

χωρίον καὶ πολὺ τὸ διάστημα εἶχεν. ὡς δὲ προσευξάμενος
place and great the extent it-had when and having-prayed
εἰσελθεῖν κατετόλμησεν, εὗρεν ἔνδον δύο ἄνδρας ἁγίους, οἳ
to-enter he-ventured he-found within two men holy who
καὶ αὐτοὶ τὸν αὐτὸν τρόπον ἐκεῖ ἐληλύθεισαν ἱκανὸν ἤδη
also themselves the same way there had-come considerable already
χρόνον ἔχοντες. προσευξάμενοι δὲ ἀλλήλους ἠσπάσαντο,
time having having-prayed and one-another they-greeted
λίαν ἐπ' ἀλλήλους χαίροντες. νίψαντες δὲ αὐτοῦ τοὺς πόδας
greatly over one-another rejoicing having-washed and his the feet
τῶν καρπῶν τοῦ παραδείσου παρέθηκαν. ὁ δὲ μετειληφὼς
of-the fruits of-the paradise they-set-before(-him) he and having-partaken
ηὐχαρίστησε τῷ κυρίῳ θαυμάζων ἐπὶ τοῖς καρποῖς
gave-thanks to-the Lord wondering at the fruits
τοῖς μεγάλοις καὶ παμποικίλοις οὖσιν. ἔλεγον δὲ πρὸς
the great and manifold being they-said and to
ἀλλήλους· "καλὸν ἦν ὧδε πάντας εἶναι τοὺς μοναχούς."
one-another good it-were here all to-be the monks
"ἦσαν δέ, φησί, πηγαὶ τρεῖς ἐν μέσῳ τοῦ παραδείσου
there-were and he-says springs three in (the)-middle of-the paradise
μεγάλαι ἐκ τῆς ἀβύσσου βρύουσαι καὶ ποτίζουσαι τὸν
great from the abyss gushing and watering the
παράδεισον, δένδρα δὲ παμμεγέθη καὶ πολύκαρπα, πᾶν
paradise trees and huge and fruitful every
γένος ὀπώρας τῆς ὑπὸ τὸν οὐρανὸν καρποφοροῦντα."
kind of-fruit of-the(-one) under the heaven bearing
ἐπιμείνας δὲ πρὸς αὐτοὺς ἡμέρας ἑπτὰ ἠξίου ἀπελθεῖν
having-stayed and with them days seven asked to-go-away
ὁ μακάριος εἰς τὴν οἰκουμένην καὶ ἄξαι σὺν αὑτῷ τοὺς
the blessed(-one) to the inhabited-world and to-bring with himself the
μοναχούς. οἱ δὲ ἅγιοι ἄνδρες ἔλεγον πρὸς αὐτόν, μὴ
monks the but holy men said to him not

δύνασθαι αὐτὸν τοῦτο ποιεῖν· πολλὴν γὰρ εἶναι τὴν ἔρημον
to-be-able him this to-do great for to-be the desert
καὶ ἐκτεταμένην καὶ πολλοὺς εἶναι δαίμονας κατὰ πᾶσαν
and extended and many to-be demons throughout all
τὴν ἔρημον τοὺς πλανῶντας τοὺς μοναχοὺς καὶ ἀναιροῦντας,
the desert those leading-astray the monks and killing
ὡς πολλοὺς καὶ ἄλλους πολλάκις βουληθέντας εἰσελθεῖν
so-that many also others often having-wished to-enter
ἀνῃρῆσθαι. ὁ δὲ Μακάριος μὴ ἀνασχόμενος ἔτι μένειν
to-have-been-killed — but Macarius not having-endured still to-stay
ἐκεῖ, ἀλλ᾽ εἰπών, ὅτι· "δεῖ με αὐτοὺς ἀγαγεῖν ἐνθάδε, ἵνα
there but having-said that must me them to-bring hither that
τῆς τρυφῆς ἀπολαύσωσιν," ὥρμησεν ἐπὶ τὴν οἰκουμένην
the delight they-may-enjoy set-out to the inhabited-world
ἐπιφερόμενός τινα τῶν καρπῶν πρὸς ἐπίδειξιν. καὶ
carrying some of-the fruits for display and
βαίων δὲ πλῆθος συλλέξας ἐβάσταζε σημεῖα τιθεὶς ἐξ
of-palm-leaves too (a)-mass having-collected he-carried markers setting from
αὐτῶν κατὰ τὴν ἔρημον, ὡς ἵνα μὴ σφαλῇ ἐπανερχόμενος.
them through the desert so that not he-go-wrong returning
ἀπονυστάξας δέ που τὴν ἔρημον καὶ ἔξυπνος
having-dozed and somewhere-in the desert and awake
γενόμενος εὗρε πάντα τὰ βαία πρὸς κεφαλῆς κατὰ
having-become he-found all the palm-leaves at (his)-head against
αὐτοῦ συνηγμένα ὑπὸ δαιμόνων. πρὸς οὓς φησὶν ἀναστάς·
him gathered by demons to whom he-says having-risen
"εἰ θέλημα θεοῦ ἐστίν, οὐ δυνήσεσθε ἡμᾶς κωλῦσαι τοῦ
if (the)-will of-God it-is not you-will-be-able us to-hinder from-the
εἰσελθεῖν εἰς τὸν παράδεισον." παραγενάμενος δὲ εἰς
to-enter into the paradise having-arrived and in
τὴν οἰκουμένην ἐπεδείκνυε τοὺς καρποὺς τοῖς μοναχοῖς
the inhabited-world he-showed the fruits to-the monks

προτρεπόμενος αὐτοὺς ἀπελθεῖν εἰς τὸν παράδεισον.
urging them to-go into the paradise
συναχθέντες δὲ πατέρες πολλοὶ πρὸς αὐτὸν εἶπον· "μὴ
having-gathered and fathers many to him said surely-not
ἐπ' ὀλέθρῳ τῶν ψυχῶν τῶν ἡμετέρων ὁ παράδεισος
for (the)-ruin of-the souls the our the paradise
γέγονεν. εἰ γὰρ αὐτοὶ νῦν ἀπολαύσομεν, ἀπειλήφαμεν
has-been-made if for we now shall-enjoy(-it) we-have-received
τὰ ἀγαθὰ ἡμῶν ἐπὶ τῆς γῆς. τίνα δὲ μισθὸν
the good(-things) our on the earth what and reward
ἕξομεν ὕστερον πρὸς θεὸν ἀφικόμενοι ἢ ὑπὲρ ποίας
shall-we-have later to God having-come or for what
ἀρετῆς τιμηθησόμεθα;" καὶ ἔπεισαν αὐτὸν τοῦ μηκέτι
virtue shall-we-be-honored and they-persuaded him the no-longer
ἀπελθεῖν. Ἄλλοτε δὲ σταφυλὰς πεμφθείσας αὐτῷ νεαρὰς
to-go another-time and grapes sent to-him fresh
ἐπιθυμήσαντι μεταλαβεῖν ἐνδεικνύμενος τὴν ἐγκράτειαν
having-desired to-partake displaying the self-control
ἀπέστειλεν αὐτὰς πρὸς ἀδελφόν τινα κάμνοντα καὶ αὐτὸν
he-sent them to brother a-certain sick also himself
σταφυλὰς ἐπιθυμοῦντα. ὃς δεξάμενος καὶ λίαν περιχαρὴς
grapes desiring who having-received and very overjoyed
γενόμενος κρύπτειν ἑαυτοῦ τὴν ἐγκράτειαν βουλόμενος πρὸς
having-become to-hide his-own the self-control wishing to
ἄλλον ἀδελφὸν αὐτὰς ἐξαπέστειλεν ὡς αὐτὸς ἀνορέκτως
another brother them sent as himself without-appetite
ἔχων περὶ τὸ βρῶμα. δεξάμενος δὲ κἀκεῖνος τὸ βρῶμα
being for the food having-received and he-too the food
ταὐτὸ πάλιν ἐποίησε καὶ αὐτὸς λίαν ποθῶν μεταλαβεῖν.
the-same again did even himself greatly longing to-partake

ὡς δὲ λοιπὸν εἰς πολλοὺς ἀδελφοὺς ἦλθον αἱ σταφυλαί,
when and then to many brothers came the grapes
μηδενὸς βουληθέντος αὐτῶν μεταλαβεῖν, ὁ τελευταῖος
no-one having-wished of-them to-partake the last
αὐτὰς λαβὼν πρὸς Μακάριον ἀπέστειλεν, ὡς μέγα
them having-taken to Macarius sent as (a)-great
δῶρον αὐτῷ χαριζόμενος. ἐπιγνοὺς δὲ αὐτὰς ὁ
gift to-him bestowing having-recognized and them —
Μακάριος καὶ πολυπραγμονήσας ἐθαύμασεν εὐχαριστῶν
Macarius and having-inquired wondered giving-thanks
τῷ κυρίῳ ἐπὶ τῇ τοιαύτῃ αὐτῶν ἐγκρατείᾳ καὶ οὐδὲ
to-the Lord for the such their self-control and not-even
αὐτὸς αὐτῶν τέλος μετείληφεν. Ἄλλοτε δὲ φασὶ τὸν
himself of-them at-last has-partaken another-time and they-say —
Μακάριον σπήλαιον οἰκοῦντα ἐν τῇ ἐρήμῳ προσεύχεσθαι·
Macarius (a)-cave inhabiting in the desert to-pray
ἄλλο δὲ σπήλαιον ὑαίνης πλησίον ἐτύγχανεν, ἥτις
another and cave of-(a)-hyena near happened-to-be which
εὐχομένου αὐτοῦ ἐπέστη καὶ τῶν ποδῶν αὐτοῦ ἥπτετο.
praying he came-up and the feet his touched
καὶ λαβομένη αὐτοῦ ἠρέμα τοῦ κρασπέδου εἵλκεν ἐπὶ
and having-taken his gently the hem drew(-him) to
τὸ οἰκεῖον σπήλαιον. ὁ δὲ ἠκολούθει αὐτῇ λέγων· "τί
the own cave he and followed her saying what
ἄρα θέλει τὸ θηρίον τοῦτο ποιεῖν;" ὡς δὲ ἤγαγεν αὐτὸν
then wants the beast this to-do when and she-led him
ἄχρι τοῦ ἑαυτῆς σπηλαίου, εἰσελθοῦσα ἐξάγει πρὸς
as-far-as the her-own cave having-gone-in she-brings-out to
αὐτὸν τοὺς ἑαυτῆς σκύμνους τυφλοὺς γεννηθέντας· ὁ δὲ
him the her-own cubs blind born he and
ἐπευξάμενος θεωροῦντας τοὺς σκύμνους τῇ ὑαίνῃ
having-prayed-over(-them) seeing the cubs to-the hyena

ἀπέδωκεν. ἡ δὲ ὥσπερ δῶρον εὐχαριστήριον φέρουσα
gave-back she and as (a)-gift thankful bringing
τῷ ἀνδρὶ δέρμα μέγιστον κριοῦ μεγάλου τοῖς ποσὶν
to-the man (a)-hide very-large of-(a)-ram great at-the feet
αὐτοῦ παρέθηκεν. ὁ δὲ ἐπιγελάσας αὐτῇ ὡς εὐγνώμονι
his laid he and having-smiled-at her as grateful
καὶ αἴσθησιν ἐχούσῃ λαβὼν ἑαυτῷ ὑπεστρώσατο· ὅπερ
and sense having having-taken for-himself spread(-it)-under which
δέρμα μέχρι νῦν παρά τινι διασέσωσται.
hide until now with someone has-been-preserved
Φασὶ δὲ αὐτὸν κακούργου τινὸς παρθενεύουσαν κόρην
they-say and him villain a-certain (a)-virgin girl
μαγείαις τισὶν εἰς φοράδα μεταβαλόντος καὶ τῶν γονέων
by-magic-arts some into (a)-mare having-changed and the parents
αὐτῆς ταύτην αὐτῷ προσαγαγόντων καὶ δεηθέντων αὐτοῦ,
her her to-him having-brought and having-begged him
εἰ βουληθείῃ ταύτῃ εὐξάμενος μεταβαλεῖν εἰς γυναῖκα,
if he-would-be-willing her having-prayed to-change into (a)-woman
ἐπὶ ἑπτὰ ἡμέρας ἐγκλείσας αὐτὴν καταμόνας τῶν γονέων
for seven days having-shut-in her alone the parents
αὐτῇ παραμενόντων, αὐτὸς εἰς ἕτερον κέλλιον τῇ δεήσει
by-her staying he in another cell to-the prayer
ἐσχόλαζεν. τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ εἰσελθὼν μετὰ τῶν
devoted-himself on-the and seventh day having-gone-in with the
γονέων ἤλειψεν αὐτὴν ὅλην ἐλαίῳ καὶ κλίνας τὰ γόνατα
parents he-anointed her whole with-oil and having-bent the knees
ηὔξατο σὺν αὐτοῖς καὶ ἀναστάντες εὗρον αὐτὴν εἰς
prayed with them and having-risen they-found her into
κόρην μεταβληθεῖσαν.
(a)-girl changed

Amoun of Nitria keeps his marriage virgin. Paul the Simple, tested by Antony, casts out demons Antony cannot; Piammon sees an angel write down the names of the communicants. The writer ends with seven dangers on the journey and an eighth, three crocodiles, from which Christ saved them.

29 Ἦν δέ τις πρὸ τούτου ἐν ταῖς Νιτρίαις, Ἀμμοῦν ὀνόματι,
there-was and one before this in — Nitria Amoun by-name
οὗ τὴν ψυχὴν ἀναλαμβανομένην εἶδεν ὁ Ἀντώνιος. οὗτος
whose the soul being-taken-up saw — Antony he
πρῶτος τῶν μοναχῶν τὰς Νιτρίας κατείληφεν, εὐγενὴς
first of-the monks — Nitria occupied noble
μὲν ὑπάρχων καὶ πλουσίους ἔχων γεννήτορας, οἳ καὶ
indeed being and rich having parents who also
ἠνάγκαζον αὐτὸν γῆμαι μὴ βουλόμενον. ὡς δὲ αὐτῷ τὴν
compelled him to-marry not wishing when and on-him the
ἀνάγκην ἐπέθηκαν, πείθει τὴν κόρην ἐν τῷ θαλάμῳ
compulsion they-laid he-persuades the girl in the bedchamber
συμπαρθενεύειν αὑτῷ ἐν τῷ κρυπτῷ. μετ᾽ οὐ πολλὰς δὲ
to-live-as-virgin-with him in the secret after not many and
ἡμέρας ἐκεῖνος μὲν ἐπὶ τὰς Νιτρίας ἐξῄει, ἐκείνη δὲ τὴν
days he indeed to — Nitria went-out she and the
οἰκετίαν πᾶσαν πρὸς παρθενείαν προεκαλεῖτο καὶ δὴ τὸν
household all to virginity invited and indeed the
οἶκον αὐτῆς μοναστήριον κατεσκεύασεν. Μόνου οὖν αὐτοῦ
house her (a)-monastery made alone so he
ἐν ταῖς Νιτρίαις ὑπάρχοντος φέρουσι παῖδα λυσσῶντα
in — Nitria being they-bring (a)-boy raving
πρὸς αὐτὸν ἀλύσεσι δεδεμένον. λυσσομανὴς γὰρ αὐτὸν
to him with-chains bound rabid for him

δήξας κύων ἐκείνῳ τὴν λύσσαν μετέδωκεν. ἐσπάραττεν
having-bitten (a)-dog to-him the rabies imparted he-tore
οὖν ἑαυτὸν ὅλον ἀφόρητον ἔχων τὸ πάθος. ὡς οὖν εἶδεν
so himself whole unbearable having the affliction when so he-saw
αὐτοῦ τοὺς γονεῖς πρὸς τὴν ἱκεσίαν χωροῦντας· "τί μοι
his the parents to the supplication proceeding why to-me
κόπους παρέχετε, φησίν, ὦ ἄνθρωποι, τὰ ὑπὲρ τὴν
troubles do-you-give he-says O men the(-things) beyond the
ἐμὴν ἀξίαν ἐπιζητοῦντες, ἔχοντες ἐν χερσὶ τὸ βοήθημα;
my worth seeking having in hands the remedy
ἀπόδοτε γὰρ τῇ χήρᾳ τὸν βοῦν, ὃν λαθραίως αὐτῆς
give-back for to-the widow the ox which secretly her
ἀπεκτείνατε, καὶ ὑγιὴς ὑμῖν ὁ παῖς ἀποδοθήσεται." οἱ
you-killed and healthy to-you the boy will-be-given-back they
δὲ ὡς ἐλέγχθησαν καὶ δὴ χαίροντες ἐποίουν τὰ
and when they-were-exposed and indeed rejoicing did the(-things)
προσταχθέντα, ὁ παῖς εὐθὺς εὐξαμένου αὐτοῦ ὑγίανεν.
commanded the boy at-once having-prayed he became-well
Ἄλλοτε δὲ παρῆσαν πρὸς αὐτόν τινες ἐπισκέψεως ἕνεκα,
another-time and came to him some of-visiting for-the-sake
πρὸς οὓς δοκιμάζων τὴν γνώμην ὁ ἀνὴρ εἶπε· "πίθον
to whom testing the mind the man said (a)-jar
μοι ἕνα κομίσατε, ἵνα ἔχω ὕδωρ ἱκανὸν πρὸς ὑποδοχὴν
to-me one bring that I-may-have water enough for reception
τῶν ἐρχομένων." ἐπαγγειλαμένων δὲ αὐτῶν ἐνεγκεῖν
of-those coming having-promised and they to-bring
μεταμεληθεὶς ὁ ἕτερος παραγενόμενος εἰς τὴν κώμην
having-repented the one having-arrived in the village
λέγει τῷ ἑταίρῳ· "οὐκ ἀποκτενῶ μου τὴν κάμηλον, οὐδὲ
says to-the companion not I-will-kill my the camel nor
ἐπιτίθημι, φησί, τὸν πίθον εἰς αὐτήν, ἵνα μὴ ἀποθάνῃ."
I-put he-says the jar on her that not she-die

ἀκούσας δὲ ταῦτα ὁ ἄλλος τὰς οἰκείας ὄνους ὑποζεύξας
having-heard and these the other the own asses having-yoked
πολλῷ καμάτῳ τὸν πίθον ἀπήνεγκεν. προσλαβὼν δὲ
with-much toil the jar brought having-received and
αὐτὸν ὁ Ἀμμοῦν εἶπε· "τί, ὅτι ἡ κάμηλος τοῦ ἑταίρου
him — Amoun said why that the camel of-the companion
σου τέθνηκεν, ἕως σὺ ἐνταῦθα παραγέγονας;" ὁ δὲ
your has-died while you here have-come he and
ὑποστρέψας εὗρεν αὐτὴν ὑπὸ λύκων βεβρωμένην. Πολλά
having-returned found her by wolves eaten many
τε καὶ ἄλλα θαυμάσια ὁ ἀνὴρ διεπράξατο. ἦλθον δέ ποτε
both and other wonders the man accomplished came and once
μοναχοί τινες πρὸς αὐτὸν παρὰ Ἀντωνίου ἀποσταλέντες
monks some to him by Antony sent
καὶ φωνοῦντες αὐτόν· ἦν γὰρ ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ ὁ
and summoning him was for in the inner desert —
Ἀντώνιος. ὡς δὲ ἀπῆεσαν πρὸς αὐτόν, διῶρύξ τις τοῦ
Antony as and they-went to him canal a-certain —
Νείλου εὕρηται μέση. οἱ δὲ ἀδελφοὶ ἐξαίφνης εἶδον αὐτὸν
of-(the)-Nile is-found between the and brothers suddenly saw him
μετατεθέντα ἐν τῷ πέραν, αὐτοὶ κολύμβῳ διαπεράσαντες.
transported to the far(-side) themselves by-swimming having-crossed
ἐπειδὴ δὲ πρὸς Ἀντώνιον παρεγένοντο, πρῶτος Ἀντώνιος
when and to Antony they-came first Antony
λέγει πρὸς αὐτόν· "τοῦ θεοῦ μοι περί σου πολλὰ
says to him — God to-me about you much
ἀποκαλύψαντος καὶ τὴν μετάθεσίν σου δηλώσαντος,
having-revealed and the removal your having-shown
ἀναγκαῖόν σε πρὸς ἐμαυτὸν προσεκαλεσάμην, ἵνα ἀλλήλων
necessarily you to myself I-summoned that one-another
ἀπολαύσαντες ὑπὲρ ἀλλήλων πρεσβεύσωμεν." τάξας
having-enjoyed for one-another we-may-intercede having-placed

δὲ αὐτὸν ἔν τινι τόπῳ κεχωρισμένῳ μακρὰν μὴ
and him in a-certain place separated far not
ἀναχωρεῖν ἐκεῖθεν ἄχρι τῆς μεταθέσεως προετρέψατο.
to-withdraw from-there until the removal he-urged(-him)
τελειωθέντος δὲ αὐτοῦ καταμόνας εἶδεν αὐτοῦ τὴν ψυχὴν
having-been-perfected and he alone he-saw his the soul
ἀναλαμβανομένην ὑπὸ ἀγγέλων εἰς τὸν οὐρανόν.
being-taken-up by angels into the heaven
Ἄλλον δὲ φασὶ Μακάριον γεγενῆσθαι, ὃς εἰς τὴν Σκῆτιν 30
another and they-say Macarius to-have-been who in — Scetis
πρῶτος μοναστήριον ἔπηξεν. ἐστὶ δὲ καὶ ὁ τόπος ἔρημος,
first (a)-monastery founded is and also the place desert
νυχθήμερον τῆς Νιτρίας ἀπέχων τῷ διαστήματι ἐπὶ τὴν
(a)-night-and-day — from-Nitria distant in-the distance into the
ἔρημον καὶ κίνδυνος μέγας ἐστὶ τοῖς ἀπιοῦσιν· ἂν γὰρ
desert and danger great is for-those going if for
μικρὸν σφαλῇ τις, πλάζεται κατὰ τὴν ἔρημον κινδυνεύων.
(a)-little go-wrong anyone he-wanders through the desert in-danger
εἰσὶ δὲ ἐκεῖ πάντες τέλειοι ἄνδρες· οὐδεὶς γὰρ ἀτελὴς ἐν
are and there all perfect men no-one for imperfect in
ἐκείνῳ τῷ τόπῳ δύναται παραμεῖναι ἀγρίου ὄντος καὶ
that the place can remain wild being and
ἀπαραμυθήτου πάντων τῶν ἐπιτηδείων. ὁ οὖν προρρηθεὶς
comfortless of-all the necessaries the so aforesaid
οὗτος ἀνὴρ Μακάριος πολιτικὸς ὑπάρχων συνήφθη ποτὲ
this man Macarius (a)-townsman being was-joined once
τῷ μεγάλῳ Μακαρίῳ καὶ ὡς ἔμελλον διαπορθμεύειν
to-the great Macarius and when they-were-about to-cross
τὸν Νεῖλον, συνέβη εἰσελθεῖν αὐτοὺς εἰς πορθμεῖον
— (the)-Nile it-happened to-enter them into (a)-ferry
μέγιστον, ἐν ᾧ τριβοῦνοί τινες δύο μετὰ πολλοῦ
very-large in which tribunes some two with much

κόμπου εἰσεληλύθεισαν, ῥαίδιον ἔχοντες ὁλόχαλκον καὶ
pomp had-entered (a)-carriage having all-bronze and
χρυσοχαλίνους ἵππους καὶ δορυφόρους τινὰς στρατιώτας
gold-bridled horses and guards some soldiers
καὶ κλοιοφόρους παῖδας χρυσοζώνους τινάς. ὡς οὖν εἶδον
and collar-wearing boys gold-belted some when so saw
τοὺς μοναχοὺς οἱ τριβοῦνοι ῥάκη παλαιὰ ἐνδεδυμένους
the monks the tribunes rags old wearing
καὶ καθημένους εἰς τὴν γωνίαν, ἐμακάριζον αὐτῶν τὴν
and sitting in the corner they-called-blessed their the
εὐτέλειαν. εἷς δὲ ἐξ αὐτῶν τῶν τριβούνων ἔφη πρὸς
plainness one and of them the tribunes said to
αὐτούς· "μακάριοι ἐστὲ ὑμεῖς οἱ τῷ κόσμῳ ἐμπαίξαντες."
them blessed are you who the world having-mocked
ἀποκριθεὶς δὲ ὁ πολιτικὸς Μακάριος εἶπε πρὸς αὐτόν·
having-answered and the townsman Macarius said to him
"ἡμεῖς μὲν τῷ κόσμῳ ἐνεπαίξαμεν, ὑμῖν δὲ ὁ κόσμος
we indeed the world mocked you but the world
ἐμπαίζει. γίνωσκε δὲ ὅτι οὐχ ἑκών, ἀλλ' ἐκ προφητείας
mocks know and that not willingly but from prophecy
τοῦτο εἴρηκας. ἀμφότεροι γὰρ »Μακάριοι« καλούμεθα." ὁ
this you-have-said both for Blessed we-are-called he
δὲ κατανυγεὶς ἐπὶ τῷ λόγῳ ἀπελθὼν οἴκαδε ἀπεδύσατο τὰ
and pierced at the word having-gone home took-off the
ἱμάτια καὶ μονάζειν ἤρξατο ποιήσας πολλὰς ἐλεημοσύνας.
garments and to-be-a-monk began having-done many almsgivings

31 Γέγονε δέ τις Παῦλος μαθητὴς Ἀντωνίου, ὀνόματι
there-was and a-certain Paul disciple of-Antony by-name
ἁπλοῦς λεγόμενος. οὗτος τὴν ἑαυτοῦ γαμετὴν ἐπ' αὐτοφώρῳ
(the)-simple called he the his-own wife in the-act
καταλαβὼν μοιχευομένην μηδενὶ μηδὲν εἰπὼν ἐπὶ τὴν
having-caught committing-adultery to-no-one anything having-said to the

ἔρημον πρὸς Ἀντώνιον ὥρμησεν. καὶ προσπεσὼν αὐτοῦ
desert to Antony rushed and having-fallen-before his
τοῖς γόνασι παρεκάλει συνεῖναι αὐτῷ σωθῆναι βουλόμενος.
the knees begged to-be-with him to-be-saved wishing
ἔφη δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος· "δύνῃ σωθῆναι, ἐὰν
said and to him — Antony you-can be-saved if
ἔχῃς ὑπακοήν, καὶ ὅπερ ἂν παρ' ἐμοῦ ἀκούσῃς, τοῦτο
you-have obedience and whatever — from me you-bear this
ποιήσῃς." ὁ δὲ Παῦλος ἀποκριθεὶς εἶπε· "πάντα ποιήσω
you-do — and Paul having-answered said all I-will-do
ὅσαπερ ἂν προστάξῃς." δοκιμάζων δὲ αὐτοῦ τὴν γνώμην
whatever — you-command testing and his the resolve
ὁ Ἀντώνιος λέγει πρὸς αὐτόν· "στῆθι καὶ πρόσευξαι ἐν
— Antony says to him stand and pray in
τῷ τόπῳ τούτῳ, ἕως οὗ εἰσελθὼν ἐξενέγκω σοι ἔργον,
the place this until — having-gone-in I-bring-out to-you work
ὅπερ ἐργάσῃ·" καὶ εἰσελθὼν εἰς τὸ σπήλαιον προσεῖχεν
which you-will-work and having-gone-in into the cave he-watched
αὐτῷ διὰ θυρίδος, ἀκινήτου μένοντος ἐκ τοῦ τόπου ὅλην
him through (a)-window motionless remaining from the place all
τὴν ἑβδομάδα ὑπὸ καύματος φρυγομένου. ἐξελθὼν δὲ
the week by heat being-parched having-come-out and
μετὰ τὴν ἑβδομάδα εἶπε πρὸς αὐτόν· "δεῦρο, μετάλαβε
after the week he-said to him come partake
τῆς τροφῆς." ὡς δὲ παρέθηκε τράπεζαν καὶ τὰ σιτία·
of-the food when and he-set (a)-table and the provisions
"κάθισον, φησί, καὶ μὴ φάγῃς ἕως ἑσπέρας, ἀλλὰ πρόσεχε
sit he-says and not eat until evening but look
μόνον τοῖς ἐδωδίμοις."
only at-the eatables

ἑσπέρας δὲ γενομένης καὶ τοῦ Παύλου μὴ βεβρωκότος
evening and having-come and — Paul not having-eaten
λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· "ἀναστὰς εὖξαι καὶ
says to him — Antony having-risen pray and
κάθευδε." ὁ δὲ καταλιπὼν τὴν τράπεζαν ἐποίησεν οὕτως.
sleep he and having-left the table did so
μεσαζούσης δὲ τῆς νυκτὸς ἐγείρας αὐτὸν εἰς προσευχήν,
being-at-the-middle and the night having-roused him to prayer
ἄχρις ἐνάτης ὥρας ἡμερινῆς παρέτεινε τὰς εὐχάς. παραθεὶς
until (the)-ninth hour of-the-day he-prolonged the prayers having-set
δὲ πάλιν τράπεζαν ἐκέλευσεν αὐτὸν μεταλαβεῖν. ὡς δὲ
and again (a)-table he-bade him to-partake when and
μόνον τρίτον τὸν ἄρτον τῷ στόματι προσενήνοχεν,
only (a)-third(-time) the bread to-the mouth he-had-brought
ἀναστῆναι προστάξας αὐτῷ καὶ ὕδατος μὴ ἅπτεσθαι
to-rise having-commanded him and water not to-touch
ἔπεμπεν εἰς τὴν ἔρημον περιάγειν λέγων αὐτῷ· "μετὰ
he-sent(-him) into the desert to-go-about saying to-him after
τρεῖς ἡμέρας ἧκε ἐνταῦθα." τούτου δὲ γενομένου καὶ
three days come here this and having-happened and
ἀδελφῶν τινων πρὸς αὐτὸν ἐληλυθότων προσεῖχεν ὁ
brothers some to him having-come watched —
Παῦλος τῷ Ἀντωνίῳ, τί κελεύοι αὐτὸν ἐργάσασθαι.
Paul — Antony what he-would-bid him to-work
εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος· "σιωπῶν διακόνησον
said and to him — Antony being-silent serve
τοῖς ἀδελφοῖς καὶ μηδενὸς γεύσῃ, ἄχρις ἂν οἱ ἀδελφοὶ
the brothers and nothing taste until — the brothers
ὁδεύσωσιν." ὡς δὲ λοιπὸν τρίτη ἑβδομὰς ἐπληρώθη
depart when and then (a)-third week was-completed
μὴ βεβρωκότος τοῦ Παύλου, οἱ ἀδελφοὶ ἠρώτων αὐτόν·
not having-eaten — Paul the brothers asked him

"τίνος ἕνεκεν σιωπᾷς;" τοῦ δὲ μὴ ἀποκρινομένου λέγει
of-what for-the-sake are-you-silent he and not answering says
πρὸς αὐτὸν ὁ Ἀντώνιος· "τί σιωπᾷς; ὁμίλησον τοῖς
to him — Antony why are-you-silent talk with-the
ἀδελφοῖς." ὁ δὲ ὡμίλησεν.
brothers he and talked
Ἄλλοτε δὲ στάμνου μέλιτος αὐτῷ ἐνεχθέντος εἶπεν ὁ
another-time and (a)-jar of-honey to-him having-been-brought said —
Ἀντώνιος πρὸς αὐτόν· "κλάσον τὸ ἀγγεῖον καὶ ἐκχυθήτω
Antony to him break the vessel and let-be-poured-out
τὸ μέλι." ἐποίησε δὲ οὕτως. καὶ λέγει αὐτῷ· "σύναξον
the honey he-did and so and he-says to-him gather
πάλιν τὸ μέλι μυακίῳ ἄνωθεν, ἵνα μὴ ῥυπαρίαν τινὰ
again the honey with-(a)-shell from-above that not dirt any
συνεισενέγκῃς." καὶ πάλιν ἀντλεῖν ὕδωρ προσέταξε πᾶσαν
you-bring-in-with(-it) and again to-draw water he-ordered every
ἡμέραν. καὶ διδάξας αὐτὸν σπυρίδας πλέκειν μεθ' ἡμέρας
day and having-taught him baskets to-weave after days
τινὰς κελεύει πάσας αὐτὸν ἀναλύειν τὰς σπυρίδας. καὶ
some bids all him to-undo the baskets and
παραλύσας αὐτοῦ τὸ σωμάτιον ἐκέλευσε ῥάπτειν καὶ πάλιν
having-unpicked his the garment he-bade to-sew and again
παρέλυε καὶ πάλιν ἐκεῖνος ἔρραπτεν. καὶ τοσαύτην ὁ
unpicked(-it) and again he sewed and such the
ἀνὴρ ἐκτήσατο ὑπακοήν, ὥστε καὶ χάριν αὐτῷ δεδόσθαι
man acquired obedience so-that even grace to-him to-have-been-given
θεόθεν τὴν κατὰ τῶν δαιμόνων ἐλασίαν. οὓς γὰρ οὐκ
from-God the against the demons expulsion whom for not
ἐδύνατο ὁ μακάριος Ἀντώνιος ἐκβαλεῖν δαίμονας, τούτους
could the blessed Antony to-cast-out demons these
πρὸς Παῦλον ἀπέστελλε καὶ αὖθωρον ἐξεβάλλοντο.
to Paul he-sent and that-very-hour they-were-cast-out

32 Ἐστὶ δὲ καὶ ἄλλη ἔρημος ἐν Αἰγύπτῳ παράλιος μὲν
there-is and also another desert in Egypt by-the-sea indeed
οὖσα, ἀλλὰ χαλεπωτάτη, ἐν ᾗ πολλοὶ καὶ μεγάλοι
being but most-harsh in which many and great
ἀναχωρηταὶ κατοικοῦσι, πλησίον ὑπάρχουσα τῆς Διόλκου
anchorites dwell near being the of-Diolcos
πόλεως. Εἴδομεν δὲ ἐκεῖ πρεσβύτερον, ἄνδρα ἅγιον
city we-saw and there presbyter (a)-man holy
καὶ λίαν ταπεινόφρονα, ὀπτασίας συνεχῶς ὁρῶντα,
and very humble visions continually seeing
ὀνόματι Πιάμμονα. οὗτος προσφέρων ἅπαξ τῷ θεῷ
by-name Piammon he offering once — to-God
τὰς λατρείας ὁρᾷ ἄγγελον ἐκ δεξιῶν ἑστῶτα τοῦ
the services sees (an)-angel at (the)-right standing of-the
θυσιαστηρίου καὶ τοὺς προσερχομένους τῇ χάριτι ἀδελφοὺς
altar and those approaching the grace brothers
σημειούμενον καὶ γράφοντα αὐτῶν τὰ ὀνόματα ἐν βιβλίῳ.
noting and writing their the names in (a)-book
μὴ παραγινομένων δέ τινων ἐν τῇ συνάξει εἶδεν τὰ
not attending and some at the synaxis he-saw the
ὀνόματα αὐτῶν ἀπαλειφόμενα· οἳ μετὰ δεκατρεῖς ἡμέρας
names their being-wiped-out who after thirteen days
ἐτελεύτησαν. τοῦτον πολλάκις οἱ δαίμονες βασανίσαντες
died him often the demons having-tormented
ἀσθενείᾳ περιέβαλον, ὡς μὴ δύνασθαι αὐτὸν στῆναι ἐν
with-weakness surrounded so-that not to-be-able him to-stand at
τῷ θυσιαστηρίῳ μηδὲ προσφέρειν. ἄγγελος δὲ ἐλθὼν
the altar nor to-offer (an)-angel but having-come
καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἐνεδυνάμωσε αὐτὸν
and having-taken his the hand strengthened him

παραχρῆμα καὶ ὑγιῆ τῷ θυσιαστηρίῳ παρέστησεν. οὗ
at-once and healthy at-the altar set whose
τὰς βασάνους οἱ ἀδελφοὶ θεασάμενοι ἐξεπλάγησαν.
the torments the brothers having-beheld were-amazed
Εἴδομεν δὲ καὶ ἄλλον Ἰωάννην ἐν Διόλκῳ, πατέρα 33
we-saw and also another John in Diolcos father
μοναστηρίων καὶ αὐτὸν πολλὴν χάριν ἔχοντα τό τε
of-monasteries also himself much grace having the both
Ἀβραμιαῖον σχῆμα καὶ τὸν πώγωνα Ἀαρών, δυνάμεις τε
Abrahamic form and the beard of-Aaron powers both
καὶ ἰάσεις ἐπιτελέσαντα καὶ πολλοὺς παραλυτικοὺς καὶ
and healings having-performed and many paralytics and
ποδαλγοὺς θεραπεύσαντα.
gouty(-ones) having-healed
Εἴδομεν δὲ καὶ ἄλλους πολλοὺς πατέρας καὶ μοναχοὺς 34
we-saw and also other many fathers and monks
κατὰ πᾶσαν τὴν Αἴγυπτον πολλὰς δυνάμεις καὶ σημεῖα
throughout all — Egypt many powers and signs
ἐπιτελοῦντας, ὧν διὰ τὸ πλῆθος οὐκ ἐμνημονεύσαμεν,
performing whom because-of the multitude not we-have-recorded
ἀλλὰ ὀλίγα ἀντὶ πολλῶν διηγησάμεθα. τί γὰρ ἄν τις
but few(-things) instead-of many we-have-related what for — anyone
εἴποι περὶ τῆς ἄνω Θηβαίδος τῆς κατὰ Συήνην, ἐν ᾗ
could-say about the upper Thebaid the(-part) toward Syene in which
θαυμασιώτεροι ἄνδρες τυγχάνουσι καὶ πλῆθος μοναχῶν
more-wonderful men are and (a)-multitude of-monks
ἄπειρον; ὧν οὐκ ἄν τις πιστεύσειε τὰς πολιτείας ὑπὲρ
countless whose not — anyone would-believe the ways-of-life beyond
ἀνθρωπίνην ζωὴν ὑπαρχούσας. οἳ καὶ νεκροὺς μέχρι
human life being who even dead until
σήμερον ἀνιστῶσι καὶ τῶν ὑδάτων ἐπιβαίνουσιν ὥσπερ
today raise and on-the waters walk as

ὁ Πέτρος. καὶ πᾶν ὅ τι ὁ σωτὴρ διὰ τῶν ἁγίων
— Peter and all what — the savior through the saints
ἐπετέλεσε, ταῦτα καὶ νῦν δι᾽ αὐτῶν ἐπιτελεῖ. Ἀλλ᾽
accomplished these also now through them he-accomplishes but
ἐπειδὴ κίνδυνος ἦν ἡμῖν μέγιστος περαιτέρω τῆς Λυκῶ
since danger was to-us very-great further — than-Lyco
ἀνελθεῖν διὰ τὴν τῶν ληστῶν ἔφοδον, οὐκ ἐτολμήσαμεν
to-go-up because-of the of-the robbers attack not we-dared
τοὺς ἁγίους ἐκείνους ἰδεῖν. οὐδὲ γὰρ τοὺς προρρηθέντας
the saints those to-see nor for the aforesaid
πατέρας ἀκινδύνως εἴδομεν, οὐδὲ ἀπόνως οὐδὲ ἀμογητὶ
fathers without-danger we-saw nor without-toil nor without-labor
τὰς ἱστορίας ταύτας ἑωράκαμεν· ἀλλὰ πολλὰ προπαθόντες
the sights these we-have-seen but much having-suffered-first
καὶ μικροῦ δεῖν κινδυνεύσαντες μόλις κατηξιώθημεν
and (by)-little lacking having-been-endangered scarcely we-were-deemed-worthy
ταῦτα θεάσασθαι. ἕβδομον γὰρ θάνατον ὑπέστημεν, ἐν δὲ
these to-behold (a)-seventh for death we-underwent in but
τῷ ὀγδόῳ οὐχ ἥψατο ἡμῶν τι κακόν.
the eighth not touched us any evil
ἅπαξ μὲν γὰρ λιμῷ καὶ δίψει πέντε νυχθημέρας διὰ
once indeed for by-hunger and thirst five nights-and-days through
τῆς ἐρήμου περιπατήσαντες μικροῦ δεῖν ἐλιποψυχήσαμεν.
the desert having-walked (by)-little lacking we-fainted
ἄλλοτε δὲ ὀξέσι καὶ τραχέσιν ἕλεσιν ἐμπεσόντες καὶ τοὺς
another-time and into-sharp and rough marshes having-fallen and the
πόδας ἑαυτῶν διατρήσαντες, ὡς ἀνυποίστους γενέσθαι
feet our-own having-pierced so-that unbearable to-become
τὰς ἀλγηδόνας, μικροῦ δεῖν ἀπεψύξαμεν. τρίτον δὲ
the pains (by)-little lacking we-expired (a)-third(-time) and
βορβόροις ἐνεπάγημεν μέχρι ὀσφύος, καὶ οὐκ ἦν ὁ
in-mud we-stuck up-to (the)-waist and not there-was the(-one)

ῥυόμενος καὶ τὰς τοῦ μακαρίου Δαβὶδ φωνὰς ἀνεβοῶμεν·
rescuing and the of-the blessed David words we-cried-out
σῶσόν με, ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου·
save me — God for have-come-in waters to soul my
ἐνεπάγην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἐστὶν ὑπόστασις.
I-stuck in (the)-mire of-(the)-deep and not is standing
καὶ σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. τέταρτον ἦν
and save me from (the)-clay that not I-stick (a)-fourth(-time) was
τῶν ὑδάτων ἡμῖν πλῆθος ἐπεισρυὲν ἐκ τῆς τοῦ Νείλου
of-the waters on-us (a)-mass having-flowed-in from the — of-(the)-Nile
αὐξήσεως καὶ ἐπὶ τρεῖς ἡμέρας δι' ὑδάτων πορευομένοις
rise and for three days through waters traveling
καὶ ἐν τοῖς στομίοις μικροῦ δεῖν κατακλυσθεῖσιν· ὅτε
and in the mouths (by)-little lacking having-been-flooded when
καὶ ἐβοῶμεν λέγοντες· "μή με καταποντισάτω καταιγὶς
also we-cried saying not me let-drown (the)-storm
ὕδατος μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ
of-water nor let-swallow me (the)-deep nor let-shut upon me
φρέαρ τὸ στόμα αὐτοῦ."
(the)-pit the mouth its
πέμπτον δὲ λησταῖς περιεπέσαμεν κατὰ τὴν θαλασσίαν
(a)-fifth(-time) and robbers we-fell-among along the sea
ὄχθην ἐπὶ τὴν Δίολκον ἀπερχόμενοι, οἳ ἄχρι τοσοῦτον
shore to — Diolcos going who to such-a-point
ἡμᾶς κατεδίωξαν καταλαβεῖν βουλόμενοι, ἄχρις τὴν πνοὴν
us pursued to-catch wishing until the breath
ἡμῶν ἐν ταῖς ῥισὶ μικρὰν ὑπολειφθῆναι, ὡς ἐπὶ δέκα μίλια
our in the nostrils little to-be-left as for ten miles
ἡμῶν διωχθέντων. ἕκτον δὲ τὸν Νεῖλον πλέοντες
we having-been-pursued (a)-sixth(-time) and — (the)-Nile sailing
μικροῦ κατεποντίσθημεν καταστραφέντες. ἕβδομον, ὅτε
(by)-little we-were-drowned having-been-capsized (a)-seventh when

κατὰ τὴν Μαρεώτιδα λίμνην, ἐν ᾗ ὁ χάρτης γεννᾶται,
at the Mareotic lake in which the papyrus grows
εἰς νῆσόν τινα ἀπερρίφημεν ἔρημον καὶ τρία νυχθήμερα
on island a-certain we-were-cast desert and three nights-and-days
ὑπαίθριοι ἐμείναμεν, κρύους μεγάλου καὶ ὄμβρων ἡμῖν
in-the-open we-stayed cold great and rains on-us
ἐπικειμένων. ἦν γὰρ ὁ καιρὸς τῶν ἐπιφανειῶν. Ἐν δὲ τῷ
pressing was for the time of-the epiphanies in and the
ὀγδόῳ περισσὸν μὲν ἐστὶ τὸ διήγημα, ὅμως ὠφέλιμον.
eighth superfluous indeed is the story yet profitable
παριόντων γὰρ ἡμῶν διά τινος τόπου εἰς τὰς Νιτρίας
passing for we through a-certain place to — Nitria
κοιλάς τις ἦν κατὰ τὴν χώραν ὕδατος γέμουσα, ἐν
hollow a-certain was in the country with-water full in
ᾗ ἐναπομείναντες κροκόδειλοι πολλοὶ ἦσαν τοῦ ὕδατος
which having-remained crocodiles many were the water
ἐκ τῶν χωρῶν ὑποχωρήσαντος. τριῶν οὖν μεγάλων
from the lands having-receded three so great
κροκοδείλων ἐπὶ τὸ χεῖλος τοῦ βόθρου ἐκτεταμένων
crocodiles on the edge of-the pit stretched-out
προσῄειμεν ἡμεῖς ὀψόμενοι τὰ θηρία νομίσαντες αὐτὰ
approached we going-to-see the beasts having-thought them
τεθνηκέναι.
to-be-dead
τὰ δὲ εὐθὺς ἐφ᾽ ἡμᾶς ὥρμησαν. ἡμεῖς δὲ μεγάλῃ φωνῇ τὸν
they but at-once at us rushed we and with-great voice —
Χριστὸν ὠνομάσαμεν ἐκβοήσαντες· “Χριστέ, βοήθει.” οἱ δὲ
Christ named having-cried-out Christ help the but
θῆρες, ὥσπερ ὑπό τινος ἀγγέλου ἀποστραφέντες, ἑαυτοὺς
beasts as-if by some angel turned-away themselves
εἰς τὸ ὕδωρ ἠκόντισαν. ἡμεῖς δὲ δρόμῳ συχνῷ ἐπὶ τὰς
into the water hurled we and at-(a)-run swift to —

Νιτρίας ἀπεληλύθαμεν τὴν τοῦ Ἰὼβ φωνὴν μελετῶντες,
Nitria went-off the — of-Job word pondering
ἔνθα φησίν· “ἑπτάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ
where he-says seven-times from distresses he-will-deliver you in and
τῷ ὀγδόῳ οὐ μὴ ἅψηταί σου κακόν.” Εὐχαριστοῦμεν οὖν
the eighth not — will-touch you evil we-give-thanks so
τῷ κυρίῳ τῷ ἐκ τοσούτων κινδύνων ἡμᾶς ῥυσαμένῳ
to-the Lord the(-one) from so-many dangers us having-rescued
καὶ μεγάλας θεωρίας ἡμῖν ἐπιδείξαντι, ᾧ ἡ δόξα εἰς
and great sights to-us having-shown to-whom the glory into
τοὺς αἰῶνας. Ἀμήν.
the ages amen
